τον ἐκ θεοῦ δῶρον θ.~36 καθίσταται. ἤδε θ.~39 σελα-
γούντων πυρῶν θ.~42 πάντα λαμπρὰ τἄλλα, καὶ
θαυμαστά μοι.~44 μεγέθη πάντων, οἷα.~48 καὶ γὰρ αὐ-
τῇ θ.~49 αἰσχύνεσθαι θ. 26~22 ἐμαυτὸν ἀνέλαβον θ.
~22 τί τοῦτο θ.~26 διωρισμένος.~27 καὶ τὰ θ.~32 ἀστρο-
φόρος θ.~33 ἤπερ θ.~34 σεληναῖός τε, καὶ κατώτατος
~37 ὧν δυεῖν ἡ αὐτὴ πρός.~44 ἐσπούδασαν θ.~49 αἰ-
σθήσεως θ.~54 ὀξυδερκὲς ἥττηται. 27~4 ἔλπιζε θ.
~17 δύο μὲν ἀλλήλων τὸ μέγιστον ὑπ᾽ αὐτοὺς θ.~18
καὶ πεφευγυίας θ.~26 τὰς κορυφάς.~27. τὰ πλευρά.
~32 τῶν ἡμετέρων θ.~33 δυνήσεται ἤ τόν.~38 θεω-
ρία θ.~43 παραδιδόναι διά.~46. ἀλλ᾽ οὐδέ.~55 τὴν
ἀποκατάστασιν θ. 28~4 ᾧ μόλις τ.λ. πόσοι.~12 ἐξε-
ληλυθὸς θ.~27 συγκαλύπτεται θ.~29 τῆς πατρίδος θ.
~43 ὁ κόσμος ἐκ μέρους μέν τινος θνητός ἐστιν θ.~51 οὐκ
ἂν ἐξ ἀρχῆς γίγνοιτο. ἐπειδή.~58 τὸ αὐτὸ κινοῦν.
29~2 πᾶσαν τε γῆν.~5 τοῦτο αὐτό τις. αἰσχυνεῖται θ.
~10 ἀθάνατον ψυχὴ ἂν εἴη.~15 τυγχάνῃ τῷ.~20 ὑ-
πέκυψαι θ.~24 ἀναπραχθεῖσαι θ.

FINE

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Venetiis ap: Bartolomeo Casterzagu

Ἐνετίησι παρὰ Βαρθολομαίῳ τῷ καὶ
Στερζαγεῖ. ͵αφλζ'.

16~4 μελιτῶνδυ θ.~27 φιλοτίμως θ. ~29 οἰκονομικὴ
θ.~41 μαλθακὸν, καὶ ὑπέκκυφον θ.~49 κάνδυν θ.
17~4 ἓξ, καὶ.~12 ὡς οὖν εἶα πλεῖ. θ.~21 ἀξίωμα θ.
~25 ταῦτ' ἄρα.~53 προέχει θ. 18~19 καὶ ταύτην.
~25 πόρρω τοῦ.~51 δώσεις θ. 19~1 ἀποβλέψωμεν
θ.~2 ἀγαθώνιος.~14 βιωτέον.~15 ὑπὸ τὸ τοῦ.~19 ὁ νε-
ανίσκος.~47 αὐθίσαται. 20~21 οὐλδύμιον θ.~37
καταπλήξουσι θ.~47 παραγενομένου.~53 ἐκείνοις
καὶ θ. 21~55 ἐγγύτερον θ. 22~5 ὡς δέομαι θ.
~7 τῶν ὅλων τάξιν θ.~27 χολῇ.~37 ἔχω θ. ἐρῶ.~43
παραιτοίμην θ.~45 ἃ δὲ μὴ θ.~51 τὸ δὲ ζωῆς.~55 ἢ το-
τε. 23~4 ἡ ψυχή.~6 οἴχεται θ.~7 ἐκεῖνος θ.~13 ὥς
τε θ.~17 εἶγε θ.~19 δέος γὰρ θ.~28 τοῦ πράγματος θ.
~33 ὑπὸ ἀφείκην.~36 στρατιᾶς θ.~41 μεθ' ὅσον οὐ
ἀποβλέ.~42 ἥλιε οἶδα.~43 μεταναστῆναι.~44 πό-
βλιον κορνήλιον.~45 οὗ περ καὶ ἄλλος.~47 προαστέ-
του θ.~50 κἀκεῖσε χόντου ἐκείνην ἡμῖν ἄλλοις τὴν ἡ-
μέραν δεδαπανήκαμεν.~54 μηδὲν ὅτι μὴ περὶ ἀφει-
κανοῦ τοῦ μοῦ πάππου διαλαλοῦντος, καὶ πάντα.
24~2 ἐκ δὴ τῆς ὁδοῦ.~7 ὃν δηλονότι.~9 ἥμισι.~11 ὑπὸ
νῷ.~12 ἀπόθου. ὁρᾷς.~16 ἐδείκνυ δέ.~19 ταύτην ταυ-
τῇ.~21 κατιών. ἐκπολιορκήσῃς θ.~23 θήσῃς.~24 αἱ-
ρεθήσῃ αὖθις.~28 ἐναχθῇς.~30 σοι, καὶ τῆς εὐφυΐας,
καὶ εὖ β.~34 πλήρης θ.~36 συμπράξωσιν, πρός.~38 οἱ
ἑταῖροι θ.~45 μὴ τοῦτον θ.~52 ἀπολαύωσιν.~53 κό-
σμον ὑπὸ γῆς ἀσμενέστερον γένοιτο. 25~2 τοῦτο μὲν
θ.~6 οἱ τῶν τοῦ.~12 τοῦ λέγειν θ.~20 νόμῳ γεγένηται
οἱ τηροῦντες θ.~30 μεταναστατέον.~31 ἐσφραγισμέ-

τὰ ἄλλως γραφόμενα, καὶ τὰ οἷον ἡμαρτημένα, καὶ κατηγνωσμένα διὰ τοῦ θ.

1~12 ἦσ' οὕτως. ~13 ἦτε παγεῖσ' ἐνὶ στη. ~14 κ' ἡ νῦν. χ' ἡ. ~15 ἔπη πρός σε. 2~12 τοσοῦτον. ~45 δὴ πελάζει. ~24 καὶ ὕιντον. ~13 ὕστερον θ. ~54 αὐτέστη. 4~24 ὀγδοηκοστῷ θ. ~30 πανηγυρικὸν θ. ~39 μέμνημαι, ἐν. 5~14 ψήφῳ τοῦ συγκλήτου θ. ~18 κατ' ἄκαρπον. ~42 ἅπαντα δεῖ πρᾶξαι θ. 6~2 λακεδαιμονίοις γε. ~28 οὔτοι ὀφείλοιεν. ~30 ὡς πλείω θ. ~32 ταῦτα οὐ. καὶ ταῦτα οὔ. ~56 οὐδὲ σπείρομ. ~53 ἀλλ' ἄγε. 7~6 θερίζει θ. ~26 ἐκ νέας θ. ~32 τὸ πρὸ τοῦ βίου. τοῦ πρὸ τοῦ βίου. ὅτι καὶ διὰ. ~44 ὡς ἀληθῶς θ. ~47 τῷ παρόντι θ. ~56 φλυαρεῖς θ. 8~13 ἐκεῖνα, νὴ δία γῆρας, ἔφη, κἄν. ~16 ἐκ νεότητος θ. ~20 πέπλιον σκιπίωνε. ~39 ἰσχυρῶς θ. ~42 δοκεῖ. ~48 ἁλῶναι θ. 9~1 σαφῶς θ. ~4 ῥώμης. ~15 νὴ δί' ἐκεῖ. ~39 ἀφικνούμενον θ. ~49 ἰδία κακή. ~54 εὖ πρώτερος ἐκδίδω. θ. ~56 ἐνίοτε. 10~20 ἐστίν. ὅτε. ~28 μάθημα οὔ. ~32 πρεσβυτικὸν τέως. ~39 συντάττομαι θ. ~52 οὐδὲς θ. 12~8 ποιώμεθα. ~14 αὐτοῦ ἐς. ~15 πολιτείας θ. ~28 αὐθιστάμεθα. ~33 δούιλλον τὸν μάρκον. ~56 ἐμαυτοῦ θ. 13~20 αὐτὰ ὥς. αὐτὸν ὥς. ~20 εἶναι τὸ ἀπολαύειν. ~48 λιβυκῷ. ~51 διδάξας θ. ~53 ἀρχιερωσύνην θ. 14~2 μελίγηρυν θ. ὀρθότατα. ~34 κορὸν δὲ. ~35 οὐχ οἷός. ~41 ἀπορρῶγα. ~52 ὑπὸ μέτωπα θ. 15~6 συστοιχία, κορυφῶν συζυ. ~34 ἀπὸ τῶν χρόνων θ. ~38 ἀρ' οὖν δύνα. ~47 φωραθέντα θ. ~53 ἀεὶ ἐπιδιδούσῃ θ.

λυεσθαι, οὔτε γίγνεσθαι δυνατόν. ἢ πάντα τε οὐρανὸν, πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι, καὶ μή ποτε αὖθις ἔχειν, ὅθεν κινηθέντα γενήσεται. ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ᾽ ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε, καὶ λόγον τοῦτον αὐτόν τις λέγων, οὐκ αἰσχυνεῖται. πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον. ᾧ δὲ ἔνδοθεν αὐτὸ ἐξ ἑαυτοῦ, ἔμψυχον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς. εἰ δ᾽ ἔστι τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ ἑαυτὸ κινοῦν, ἢ ψυχὴν, ἐξ ἀνάγκης ἀγέννητόν τε, καὶ ἀθάνατον. ταύτην σὺ γύμναζε ἐν βελτίστοις πράγμασιν. εἰσὶ δ᾽ αὗται φροντίδες ἄρισται, αἱ περὶ σωτηρίας τῆς ἐνεγκαμένης, αἷς ἡ ψυχὴ κινουμένη τε, καὶ γυμναζομένη, θᾶττον ἂν ἐς τήνδε τὴν λῆξιν, καὶ τὴν ἑαυτῆς ἀναπτήσεται οἴκησιν. καὶ τοῦτο δ᾽ ἂν κούφως ποιήσειεν, εἴπερ, ἡνίκα ἂν ἐγκεκλεισμένη τῷ σώματι ἔξω προκύπτῃ, καὶ τὰ ἐκτὸς ὄντα καταθεωροῦσα, πλεῖστον ὅσον ἑαυτὴν ἐξέλοι τοῦ σώματος. αἱ γὰρ ψυχαὶ τῶν ἑαυτοὺς ταῖς ἡδοναῖς ἐκδεδωκότων τοῦ σώματος, καὶ τούτων ἑαυτὰς οἱονεί τινας παρέδωκαν ὑπηρέτιδας, καὶ τῇ τῶν ἐπιθυμιῶν ῥύμῃ ταῖς ἡδυπαθείαις ὑπέκυψαν, καὶ θεῶν, καὶ ἀνθρώπων δίκαια κατεπάτησαν, ἐξελθοῦσαι τοῦ σώματος, περὶ τὴν γῆν αὐτὴν καλινδοῦνται. καὶ οὐδ᾽ ὁπωσοῦν πρὸς τουτονὶ τὸν χῶρον, ὅτι μὴ πολλοῖς αἰῶσι δίκας εἰσπραχθεῖσαι, ἐπανακάμπτουσι. καὶ ὁ μὲν ἀνεχώρησεν, ἐγὼ δὲ τοῦ ὕπνου εὐθὺς ἀπελύθην.

ἙΛΛΗΝΙΣΑΝΤΟΣ ΤΟΥ ΠΛΑΝΟΥ ΔΙΟΥ ΛΕΓΟΜΕΝΟΥ.

οἱονεί τις ὁδὸς τῆς πατρίδος πρὸς τὴν εἰς οὐρανὸν ἄνοδον ἀναπέπταται, καίτοι τὰ μάλιστα ἐκ παίδων τοῖς ἴχνεσι πορευθεὶς τοῦ πατρός τε, καὶ τοῖς σοῖς, καὶ τῆς ὑμῶν κοσμιότητος συνήθης γενόμενος οὐδείς, νῦν μέντοι βραβεῖον προκειμένου τοσούτου σπουδάσω πολλῷ ἐγρηγορώτερον. κἀκεῖνος ἔφη. σὺ δὲ καὶ σπούδαζε, καὶ οὕτως ἴσθι, σαυτὸν μὴ θνητὸν ὄντα, ἀλλὰ τουτὶ τὸ σῶμα. οὐδὲ οὗτος εἶ σύ, ὃν ἤδη ἡ μορφὴ ἐμφανίζει, ἀλλ' ὁ νοῦς ἑκάστου, οὗτός ἐστιν ἕκαστος. ἀλλ' οὐχὶ τουτὶ τὸ σχῆμα, ὃ δακτύλῳ δείκνυσθαι δύναται. θεὸν τοιγαροῦν ἴσθι σαυτὸν ὄντα, εἴγε θεός ἐστιν ὁ ζῶν, ὁ αἰσθανόμενος, ὁ μεμνημένος, ὁ προνοούμενος, ὁ διιθύνων, καὶ διεξάγων τουτὶ τὸ σῶμα, οὗ προκάθηται. ὥσπερ δῆτα καὶ τόνδε τὸν κόσμον ὁ ἡγεμὼν ἐκεῖνος θεὸς διοικεῖ. καὶ ὃν τρόπον ὁ κόσμος ἐκ μέρους μέν τινος θνητός ἐστιν. αὐτὸς δὲ ὁ θεὸς αἰώνιος, τοῦτον καὶ τὸ φθαρτὸν σῶμα ἡ ἀθάνατος κινεῖ ψυχή. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον, τὸ δ' ἄλλο κινοῦν, καὶ ὑπ' ἄλλου κινούμενον παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς. μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις, ὅσα κινεῖται, τοῦτο πηγή, καὶ ἀρχὴ κινήσεως. ἀρχὴ δὲ ἀγέννητον. ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γινόμενον γίνεσθαι, αὐτὴ δὲ μηδ' ἐξ ἑνός. εἰ γὰρ ἔκ του ἀρχὴ γίνοιτο, οὐκ ἂν εἴη ἀρχή. ἐπειδὴ δὲ ἀγέννητόν ἐστι, καὶ ἀδιάφθορον αὐτὸ εἶναι ἀνάγκη. ἀρχῆς γὰρ δὴ ἀπολομένης οὔτε αὐτή ποτε ἔκ του, οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρχῆς δεῖ τὰ πάντα γίνεσθαι. οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ ἑαυτὸ κινοῦν. τοῦτο δὲ οὔτ' ἀπόλ-

λυσθαι,

ἐπανέλθωσιν οἱ ἀστέρες, καὶ τὴν αὐτὴν τοῦ παντὸς οὐρανοῦ διάθεσιν μακροῖς διαστήμασιν ἐπανακομίσωσι, τότε ἐκεῖνος ἀληθῶς στρέφων ἐνιαυτὸς ὀνομάζεσθαι δύναται. ἐν ᾧ μόνῳ, τολμῶ λέγειν, πολλοὶ ἀνθρώπων αἰῶνες ἂν περιέχοιντο. καὶ γὰρ ὡς ἔμπροσθεν ἐκλιπεῖν ὁ ἥλιος πᾶσιν ἀνθρώποις ἔδοξε, καὶ σβεσθῆναι, ἡνίκα ἡ ῥωμύλου ψυχὴ εἰς τοῦτον εἰσέδυ τὸν νεών, ὁπηνίκα αὖ πάλιν ἐκ τοῦ αὐτοῦ μέρους τοῦ οὐρανοῦ, καὶ τὸν αὐτὸν καιρὸν ὁ αὐτὸς ἐκλίπῃ, τηνικαῦτα καὶ τῶν ζωδίων ἁπάντων, καὶ τῶν ἀστέρων πρὸς τὴν αὐτὴν ἀρχὴν ἐπαναδραμόντων, τέλειον τοῦτον ἐνιαυτὸν ἔχε. τούτου γε μὴν τοῦ ἐνιαυτοῦ μήπω τὸ εἰκοστὸν μέρος ἐξεληλυθὸς ἴσθι. περὶ ὃ φημί, ὡς εἰ τὴν εἰς τουτονὶ τὸν χῶρον ἐπάνοδον ἀπελπίσῃς, ἐν ᾧ πάντα ἐστὶ τοῖς μεγάλοις ἀνδράσι, καὶ ὑπερέχουσι, πόσου ἂν τιμήσαιο ταύτην τὴν ἐξ ἀνθρώπων δόξαν, ἣ μόλις πρὸς ἑνὸς ἐνιαυτοῦ μέρος ὀλίγον δύναται ἀφικέσθαι; τοιγαροῦν, ἣν εἰς τὸ ὕψος ἀφορᾷν ἐθελήσῃς, καὶ ταυτησὶ τῆς λήξεως, καὶ ἀϊδίου κατοικίας ἀντιλαβέσθαι, μήτε σεαυτὸν τοῖς τοῦ δήμου θρύλλοις ἐκδῷς, μήτε ἐν ἀνθρωπείοις ἐπάθλοις τὴν ἐλπίδα τῶν σαυτοῦ θῇς πραγμάτων. ταῖς γὰρ ἑαυτῆς ἡδοναῖς τὴν ἀρετὴν αὐτὴν δεῖ πρὸς τὴν ἀληθινὴν σε τιμὴν ἀνελκύσαι. τί δὲ περὶ σοῦ θρυλλήσειαν ἄν, αὐτοί γε ὄψονται. θρυλλήσουσι μέντοι. πᾶς γὰρ ὁ ἐκείνων λόγος καὶ στενοχωρίαις περιλαμβάνεται ταύταις, ἃς βλέπεις, καὶ οὐκ ἔστιν, ὅτε περί τινος ἀΐδιος γέγονε, ἀλλὰ συγκαλύπτεται, καὶ σβέννυται. ταῦτα εἰπόντος, ἐγὼ δέ, ἔφην, ἀφρικανέ, εἰ τοῖς σπουδαίοις τῶν ἔργων

ἐπὶ γῆς ὀνομάζετε, καὶ οὗτος μέντοι ὁ τοσούτου τυγχάνων ὀνόματος, ὁπόσον βραχύς ἐστι, βλέπεις. ἐκ δὴ τούτων αὐτῶν τῶν γνωρίμων, καὶ οἰκουμένων τόπων ἆρα ἢ τὸ σὸν, ἢ τῶν ἡμετέρων τινὸς ὄνομα, ἢ τὸν καύκασον τοῦτον, ὃν ὁρᾷς, ὑπερβῆναι δεδύνηται, ἢ τὸν γάγγην ἐκεῖνον διαπλεῦσαι; ἢ ἐν τοῖς ἐπιλοίποις τίς τῆς ἀνατολῆς, ἢ ἐν τοῖς τοῦ ἡλίου δυομένου ἐσχάτοις, ἢ τοῦ βορρᾶ, ἢ τοῦ νότου τοῖς μέρεσιν τὸ σὸν ἂν ἀκούσειεν ὄνομα; ὧν ἀφαιρουμένων παντάπασι θεωρεῖς, ἐν πόσῃ στενωρίᾳ ἡ ὑμετέρα δόξα ἑαυτὴν θέλει πλατύνειν. καὶ αὐτοὶ δὲ οἱ περὶ ὑμῶν λέγοντες, μέχρι πόσου δὴ λέξουσιν; ὁπότε καὶ εἰ τὰ μάλιστα προθυμοῖτο ἡ τῶν μεθ' ὑμᾶς ἀνθρώπων γενεὰ ἄνωθεν, καὶ ἐξ ἀρχῆς τοὺς ἐπαίνους ὑμῶν ἑκάστου πρὸς τῶν πατέρων παραλαμβάνοντες τοῖς μεταγενεστέροις μεταδιδόναι, διὰ μέντοι τοὺς κατακλυσμοὺς, καὶ τὰς ἐκπυρώσεις τῆς γῆς, ἃς συμβαίνειν καθ' ὡρισμένον χρόνον ἀνάγκη, οὐ μόνον οὐκ ἀΐδιον, ἀλλ' οὐ μακρόβιον λαχεῖν δόξαν δυνάμεθα. τίς δὲ ὄνησις ἐκ τῶν ἐπιγενησομένων ἀνθρώπων εἶναί τινα περὶ σοῦ λόγον, ὁπότε μηδεὶς ἐκ τῶν σοῦ προγενεστέρων γεγένηται; οἵπερ οὔτ' ἐλάττους, καὶ, ὡς ἀληθῶς εἰπεῖν, κρείττους γεγόνασιν ἄνδρες. καὶ μάλιστα, ὁπότε παρ' αὐτοῖς τούτοις, ἀφ' ὧν θρυλλεῖσθαι τὸ ὑμέτερον ὄνομα δύναται, οὐδ' εἷς ἑνὸς ἐνιαυτοῦ παρακολουθῆσαι μνήμῃ δυνατῶς ἔχει. οἱ γὰρ ἄνθρωποι τῇ συνηθείᾳ ἐνιαυτὸν, μόνον τὴν τοῦ ἡλίου, τοῦτο δέ ἐστιν ἑνὸς ἄστρου, ἀποκατάστασιν συμμετροῦσιν. ἀλλ' ἡνίκα ἂν πρὸς τὸ αὐτὸ, ὅθεν καθάπαξ ἐκινήθησαν, πάντες ἐ-

θάνομαί σου, φησὶ, τὴν ἕδραν τῶν ἀνθρώπων, καὶ ἑστίαν καταμανθάνοντος. ἥτις, εἴπερ σοι μικρὰ, ὥσπερ δῆτα καὶ ἔστι, δοκεῖ, ταυτὶ τὰ οὐράνια δῆτα διὰ παντὸς ἔλπιζε. τῶν δ' ἀνθρωπίνων ὑπεροπτικῶς ἔχε. τίνος γὰρ σὺ τῆς εὐκλείας ἐκ τῆς τῶν ἀνθρώπων φήμης, ἢ τίνος ἐπεράστου τυχεῖν δόξης δυνήσῃ; ὁρᾷς πάντως τὴν γῆν σποράδην, καὶ στενοῖς οἰκουμένην χωρίοις, καὶ ἐν αὐτοῖς τοῖς οἱονεὶ στίγμασιν, ἔνθαπερ οἰκεῖται, μεγάλας ἐρημίας ἐμβεβλημένας, καὶ τούτους δὴ τοὺς τὴν γῆν οἰκοῦντας οὐ μόνον ἀπ' ἀλλήλων οὕτως ἀπερρωγότας, ὡς μηδὲν αὐτοῖς ἀφ' ἑτέρων μετοχετεύεσθαι πρὸς ἀλλήλους οἷόν τε εἶναι, ἀλλὰ καὶ πού μὲν πλαγίους, πού δ' ἀντεστραμμένους, πού δ' ἀντικειμένους ὑμῖν ἱσταμένους, ἐξ ὧν προσδοκᾶν δόξαν ὡς ἀληθῶς οὐδ' ἥντινοῦν ἔχετε. ὁρᾷς δὲ τὴν αὐτὴν οἱονεὶ ταινιουμένην, καὶ περιλαμβανομένην ζώναις τισίν. ὧν δύο μὲν τὸ μέγιστον ἀφεστώσας, καὶ ὑπ' αὐτοὺς τοὺς οὐρανοῦ πόλους ἔνθεν καὶ ἔνθεν ὑποκειμένας, καὶ πεφριχύας τοῖς πάγοις βλέπεις, τὴν μέσην δὲ, καὶ μεγίστην ἐκείνην, τῇ θέρμῃ τοῦ ἡλίου ἐκκαιομένην. δύο δέ εἰσιν οἰκήσιμοι. ὧν νοτία μὲν ἥδε ἐστὶν, ἐφ' ἧς οἱ βαδίζοντες, ἐναντία ὑμῖν τὰ ἴχνη ἐγείρουσιν. οὐδὲν αὐτοῖς πρὸς τὸ ὑμέτερον γένος. αὕτη δὲ ἡ ἑτέρα ἡ τῷ βορρᾷ ὑποκειμένη, ἣν νέμεσθε. καθ' ἣν, ἄθρει, πόσον τι στενῆς μερίδος ὑμῖν μέτεστι. πᾶσα γὰρ ἡ ὑφ' ὑμῶν οἰκουμένη γῆ, ἣ στενὴ μὲν κατὰ τὰς τῶν πόλων ἐστὶ κορυφὰς, πλατυτέρα δὲ κατὰ τὰς πλευρὰς μικρά τις νῆσός ἐστι περικλυζομένη τῇ θαλάττῃ ἐκείνῃ, ἣν ἀτλαντικὴν, ἣν μεγάλην, ἣν ὠκεανὸν

οὐδὲ γὰρ ἡσυχῇ αἱ τοσαῦται κινήσεις φέρεσθαι δύνανται. καὶ ἡ φύσις δὲ δίδωσιν, ὥστε τὰ ἄκρα ἐκ μὲν θατέρου μέρους βαρέως, ἐκ δὲ θατέρου ὀξέως ἠχεῖν. δι' ἣν αἰτίαν ὁ κορυφαῖος ἐκεῖνος, καὶ ἀστροφόρος τοῦ οὐρανοῦ δρόμος, ἧπερ ἡ στροφὴ ὀξυτάτη, καὶ ὀξυτάτῳ κινεῖται ἤχῳ. βαρυτάτῳ δ' οὗτος ὁ σεληναῖος κατώτατος. ἡ γῆ γὰρ ἐνάτη, καὶ ἀκίνητος μένουσα, ἐν ἕδρᾳ μιᾷ δι' αἰῶνος ἐστήρικται, κατειληφυῖα τὸν μέσον τοῦ κόσμου τόπον. ἐκεῖνοί γε μὴν οἱ ὀκτὼ δρόμοι, ὧν δὴ ἡ αὐτοῖς πρόσεστι δύναμις, ἑπτὰ διωρισμένοις τοῖς διαστήμασιν ἤχους ἀποτελοῦσιν. ὅς τις δὴ τα ἀριθμὸς σύνδεσμος αὔτικρυς τῶν ὄντων ἐστίν. ὅπερ οἱ πεπαιδευμένοι τῶν ἀνθρώπων νευραῖς μιμησάμενοι, καὶ ᾠδαῖς, ἠνέῳξαν ἑαυτοῖς εἰς τὸν δεῦρο χῶρον ἐπάνοδον, ὥσπερ οὖν ἕτεροι ταῖς φύσεσιν ὑπερέχοντες ἐν τῇ ἀνθρωπίνῃ βιοτῇ τὰ θεῖα ἐσπούδασαν. τούτου τοῦ ἤχου πληρωθέντα τὰ τῶν ἀνθρώπων ὦτα ἐκκεκώφηται. οὐδ' ἔστιν ἐν ὑμῖν ἀμβλυτέρα τις αἴσθησις ἑτέρα. ὥσπερ καὶ τοῦ Νείλου παρὰ τοῖς λεγομένοις καταδούποις ἐξ ὑψηλῶν ὀρῶν καταράττοντος, τὸ παροικοῦν ἐκεῖνον τὸν τόπον ἔθνος τῷ τοῦ ἤχου μεγέθει, τῆς αἰσθήσεως στέρεται. οὗτος δὲ τοσοῦτός ἐστιν ὁ τοῦ κόσμου τοῦ παντὸς ἦχος, καὶ οὕτως ὀξυτάτης ῥύμης, ὡς μηδαμῶς τὰς τῶν ἀνθρώπων ἀκοὰς χωρῆσαι τοῦτον δυνατῶς ἔχειν. καθὰ δὴ καὶ τῷ ἡλίῳ ἀντοφθαλμεῖν ἀμηχάνως ἔχετε, καὶ τῶν ἀκτίνων ἐκείνου τὸ ὑμέτερον ὀξυδερκὲς ἡττᾶται. ταῦτ' ἐγὼ θαυμάζων, μετέφερον μέντοι τοὺς ὀφθαλμοὺς ἐπὶ γῆν αὖθις καὶ αὖθις. τότε τοίνυν ὁ Ἀφρικανός, αἰ-

τε, καὶ περιέχων τοὺς ἄλλους. ἐν ᾧ περ ἐκεῖνοι πεπήγα-
σιν οἱ περιελιττόμενοι τῶν ἀστέρων ἀΐδιοι δρόμοι. τούτῳ
δ᾽ ἑπτὰ σφαῖραι ὑπόκεινται, αἳ εἰς τοὐπίσω στρεφόμε-
ναι, τὴν ἐναντίαν κινοῦνται τῷ οὐρανῷ κίνησιν. ὧν μί-
αν ἐκεῖνος ὁ ἀστὴρ κέκτηται, ὃν ἐπὶ γῆς κρόνον προσα-
γορεύουσιν. ἐντεῦθεν δὲ τὸ τῷ τῶν ἀνθρώπων γένει σωτήριον
σέλας ἐκεῖνο, ὃ Ζεὺς ὀνομάζεται. εἶτα δ᾽ ὁ πυρόεις, καὶ
φοβερὸς τοῖς ἐν γῇ, ὃν ἄρη φατέ. μετὰ δ᾽ ἐκεῖνον, τὴν
μέσην σχεδὸν ἥλιος χώραν ἐπέχει, ἡγεμὼν, καὶ ἄρχων,
καὶ οἰκονόμος τῶν ἄλλων φωτῶν, νοῦς τοῦ κόσμου, καὶ εὐ-
κρασία, τοσούτου μεγέθους ὤν, ὡς πάντα τῷ οἰκείῳ φω-
τὸς πληροῦν, καὶ λαμπρύνειν. τούτῳ δ᾽, ὥσπερ εἴ τινες
ὀπαδοὶ, ἕτερος μὲν ὁ τῆς ἀφροδίτης, ἕτερος δὲ τοῦ ἑρ-
μοῦ δρόμος ἕπεται. ἐν τῇ ταπεινοτάτῃ δὲ σφαίρᾳ ἡ
σελήνη στρέφεται ταῖς ἀκτῖσι τοῦ ἡλίου ἀναπτομένη.
ἐπὶ δὲ τῆς γῆς οὐδέν ἐστιν, ὅ, τι μὴ θνητὸν, καὶ ἐπίκηρον,
πλὴν τῶν ψυχῶν. αἳ τῇ χάριτι τῶν θεῶν τῷ τῶν ἀνθρώ-
πων ἐδωρήθησαν γένει. τὰ δ᾽ ὑπὲρ τὴν σελήνην πάντα
ἀΐδια. αὕτη γὰρ ἡ ἐννάτη, καὶ μέση γῆ οὔτε κινεῖται, καὶ
κατωτάτη ἐστὶ, καὶ πρὸς αὐτὴν φέρεται πάντα τῇ οἰ-
κείᾳ ῥοπῇ τὰ βάρη. ταῦτ᾽ ἐγὼ σὺν ἐκπλήξει σκοπῶν,
ὡς ἐμαυτὸν ἐπανέλαβον, τί τοῦτ᾽, ἔφην. τίς ὁ πλη-
ρῶν μοι τὰς ἀκοὰς, οὕτως ἡδὺς, καὶ τοσοῦτος ἦχος;
οὗτος ἐκεῖνος, εἶπεν, ὃς διαστήμασι περιττοῖς συνημ-
μένος, ὅμως μέντοι τῇ συμφώνῳ τῶν μερῶν ἀναλο-
γίᾳ διωρισμένοις, ὑπὸ τῆς ὠθήσεως, καὶ κινήσεως τῶν-
δε τῶν σφαιρῶν γίνεται. καὶ τὰ ὀξέα συγκιρνῶν τοῖς
βαρέσι, ποικίλους ὁμαλῶς τοὺς τόνους ἀποτελεῖ.

παρ' οὗ ὑμῖν αὕτη δέδοται, ἐκ τῆς τῶν ἀνθρώπων ζω-
ῆς μεταστατέον. ὡς ἂν μὴ τὸ τοῖς ἀνθρώποις ἐσφραγι-
σμένον ἐκ θεοῦ δῶρον δόξητε πεφευγέναι. ἀλλ' οὕτως
Σκιπίων, ὥσπερ ὅδε σοι ὁ πάππος, καὶ ὁ γεννησάμε-
νός σε ἐγώ, τὴν δικαιοσύνην τίμα, καὶ τὴν εὐσέβειαν
ἣ μεγάλη περί τε τοὺς γονεῖς, καὶ τοὺς καθ' αἷμα προ-
σήκοντας οὖσα, μεγίστη περὶ τὴν πατρίδα καθίσταται.
ἥδε καὶ τὸν οὐρανόν ἐστιν ἡ ζωή, καὶ τοῦτο τὸ σύστημα τῶν
ἤδη βεβιωκότων, οἳ τοῦ σώματος ἀφειμένοι, ὃν βλέ-
πεις, οἰκοῦσι χῶρον ἐκεῖνον. ἦν δ' οὗτος λαμπροτά-
του λευκώματος μεταξὺ τῶν σελαγούντων πυρῶν,
κύκλος. ὃν ὑμεῖς, ὡς παρελάβετε παρὰ τῶν ἑλλή-
νων, κύκλον ὀνομάζετε γαλαξίαν. ἐξ οὗ κατανοοῦν-
τι, πάντα θαυμαστὰ τἄλλα, καὶ λαμπρά μοι ἐδόκει. ἦ-
σαν δ' οὗτοι ἀστέρες. οὓς οὐκ ἔστιν, ὅτε ἐκ τοῦδε τοῦ τόπου
ἐθεασάμεθα, καὶ ταῦτα τὰ μεγέθη, οἷα πάντων εἶναι
οὐδέποτε ὑπωπτεύσαμεν. ὧν ἥδε ἦν ἐλαχίστη, ἥτις ἐσχά-
τη μὲν ἐξ οὐρανοῦ, ἐγγυτάτω δὲ τῆς γῆς φωτὶ διέλαμ-
πεν ἀλλοτρίῳ. τὸ δὲ τῶν ἀστέρων σφαίρωμα τῆς γῆς με-
γέθους εὐχερῶς ὑπερεῖχε. καὶ γὰρ αὕτη μοι ἡ γῆ οὕτω
μικρὰ ἔδοξεν εἶναι, ὥστε καὶ ἐπὶ τῇ ἡμετέρᾳ ἀρχῇ ἀ-
χθέσθαι. δι' ἧς οἱονεί τινι στιγμῇ τῆς γῆς ἐφαπτόμεθα.
ταύτην ἐπὶ μᾶλλον σκοποῦντί μοι δέομαι, ἦ δ' ὅς ὁ ἀ-
φρικανός, μέχρι τίνος ὁ νοῦς ἐπὶ γῆς σοι προσέξεται; ἢ
οὐχ ὁρᾷς, εἰς τίνα ποτὲ τὸν νεὼν ἐλήλυθας; ἐννέα κύ-
κλοις, ἢ μᾶλλον σφαίραις τὰ πάντα συμπλέκεται.
ὧν εἷς ὁ ἐξωτάτω ἐστὶν ὁ οὐράνιος, ὁ τοὺς λοιποὺς πε-
ριειληφὼς ἅπαντας, κορυφαῖος αὐτὸς θεός, συνέχων

ἐπηγίασιν αὖθις. ἐνταῦθα δὲ ἐγώ, καὶ εἰ τὰ μάλιστα καὶ τεπεπλήγμην τοῦτο μὲν τῷ τοῦ θανάτου φόβῳ, τοῦτο δὲ ταῖς παρὰ τῶν ἡμετέρων ἐπιβουλαῖς, ἠρόμην μέντοι, εἰ ἄρα αὐτός τε ζῇ, καὶ ὁ πατὴρ παῦλος, καὶ οἱ ἄλλοι, οὓς ἡμεῖς ἀπεσβηκότας εἶναι οἰόμεθα. καὶ μάλα, φησίν, οὗτοι ζῶσιν ὧν τοῦ σώματος δεσμῶν ὡσανεὶ δεσμωτηρίου ἐκπτάντες. ἡ δ' ὑμετέρα λεγομένη ζωή, θάνατός ἐστι. τί γὰρ μὴ βλέπεις ἐρχόμενον πρὸς σὲ παῦλον τὸν πατέρα σαυτοῦ, ὃν αὐτίκα τε εἶδον, καὶ πλῆθος δακρύων ἀνέδωκα. ὁ δέ με περιπλεξάμενος, καὶ καταφιλῶν κλαίειν ἐκώλυεν. ἐγὼ δ', ὡς τὰ πρῶτα τῶν θρήνων πέσας, τοῦ λέγειν ῥώμην ἀνέλαβον, δέομαι, ἔφην, πάτερ ἁγιώτατέ μοι, καὶ ἄριστε, ἐπείπερ ἥδε ἐστὶν ἡ ζωή, καθάπερ ἀκούω τοῦ ἀφρικανοῦ λέγοντος, τί ποτε διατρίβω ἐπὶ γῆς; καὶ μὴ δεῦρο πρὸς ὑμᾶς σπεύδω παραγενέσθαι; οὐχ οὕτως ἐστίν, ἦ δ' ὅς. εἰ μὴ γὰρ ὁ θεός, οὗ νεώς ἐστι τόδε τὸ πᾶν, ὃ βλέπεις, ταύτης σε τῆς τοῦ σώματος ἐλευθερώσει φρουρᾶς, δευρό σοι πάροδον ἀνοιχθῆναι οὐχ οἷόν τε. οἱ γὰρ ἄνθρωποι τῷδε τῷ κόσμῳ γεγένηνται, οἱ τηροῦντες τὴν σφαῖραν ἐκείνην, ἣν ἐν τῷδε τῷ ναῷ βλέπεις, ἣ γῆ προσηγόρευται. καὶ τούτοις ὁ νοῦς δέδοται ἐξ ἐκείνων τῶν ἀϊδίων πυρῶν, ἅπερ ἄστρα καὶ ἀστέρες καλεῖται. οἳ περιφερεῖς, καὶ σφαιρικοὶ καθεστῶτες, καὶ θείοις νόοις, ὡς εἰπεῖν, νοωθέντες, τοὺς οἰκείους κύκλους τε, καὶ τὰς σφαίρας θαυμαστῷ διεξίασι τάχει. ὅθεν σοι δῆτα πόπλιε, καὶ τοῖς εὐσεβέσι πᾶσι καθεκτέον ἐστὶ τὴν ψυχὴν ἐν τῇ τοῦ σώματος φυλακῇ, καὶ μὴ δίχα προστάγματος τούτου,

ἐκγόνου μου βουλαῖς ταραχθείσῃ. ἐνταῦθά σε Ἀφρι-
κανὲ δεῖξαι δεήσῃ τῇ πατρίδι τὸ φῶς τοῦ τε νόος σοι,
καὶ τῆς εὐβουλίας. ἀλλὰ τὴν ἐκείνου τοῦ χρόνου ὀξυτά-
την ὁρῶ ὡσανεὶ μοιρῶν ὁδόν. καὶ γὰρ τῆς ἡλικίας σοι
ἑπτάκις ὀκτάκις τοῦ ἡλίου περιόδους καὶ ἐπανόδους
ἀμειψάσης, δύο δ' οὗτοι ἀριθμοί, ὧν ἑκάτερος πλή-
ρης ἐκ διαφόρου ἐστὶν αἰτίας, περιόδῳ φυσικῇ, τὸ πε-
πρωμένον σοι τέλος συμπεράξουσιν, καὶ πρὸς σὲ μόνον,
καὶ τὸ σὸν ὄνομα ἡ πόλις ἑαυτὴν ἐπιστρέψει. σὲ δὴ ἡ
γερουσία, σὲ πάντες οἱ χρηστοί, σὲ οἱ ἑταῖροι, σὲ οἱ Λατῖ-
νοι περιβλέψονται, σὺ μόνος ἔσῃ, πρὸς ὃν ἡ τῆς πόλεως
ἐρείδοιτο σωτηρία. καὶ ἵνα μὴ πολλὰ λέγω, σὲ μόνον
ἄρξαντα τὴν πολιτείαν καταστῆσαι δεήσει, εἰ τὰς ἀ-
λετηρίοις τῶν ἔγγιστα τοῦ γένους ἐκφύγοις χεῖρας. ἐν
τούτοις ἀνακεκραγότος Λαιλίου, καὶ οἰμωξάντων τῶν
ἄλλων σφοδρότερον, ἠπίως προσμειδιῶν ὁ Σκιπίων,
δέομαι, φησί, μὴ τοῦτον τοῦ ὕπνου διαναστήσητε. ἀλλ'
ἠρώνη ἔσω τοῖς πράγμασιν, ὡς ἀκοῦσαι καὶ τὰ λοιπά.
ἀλλ' ἵν' εὐθυμότερος εἴης Ἀφρικανὲ τῆς πολιτείας ἐ-
πιμελεῖσθαι, οὕτως ἔχειν σε χρή, καὶ πιστεύειν, πᾶσι τοῖς
τὴν πατρίδα φυλάξασι, βοηθήσασιν, αὐξήσασιν ἀπο-
δεδειγμένον τυγχάνειν ἐν οὐρανῷ τόπον, καὶ ὡρισμέ-
νον. ἔνθα περ οἱ μακάριοι ἀτελευτήτου αἰῶνος κατα-
πολαύουσιν. οὐδὲν γάρ ἐστιν ὅπερ ἐκείνῳ τῷ ἄρχοντι
θεῷ, καὶ πάντα διοικοῦντι τὸν κόσμον, ἀσμενέστερον γέ-
νοιτο, ἢ συνέδρια, καὶ στίφη ἀνδρῶν νόμοις συναγελα-
ζόμενα. ἃ πόλεις προσαγορεύονται. τούτων οἱ διοική-
ταί τε, καὶ φύλακες ἐνθένδε προελθόντες, δεῦρο

ἐπανίασιν

νεύοντος. ἐκ δὲ δὴ τούτου, ὡς ἤδη κοίτην ἀπεχωρήσαμεν, ἐκ δὴ τῆς τροφῆς, καὶ ὅτι δὴ πρὸς νύκτα πολλὴν διηγρύπνησα, βαθυτέρῳ τοῦ εἰωθότος ἐλήφθην ὕπνῳ. ἐνταῦθά μοι (πέπεισμαι, ἐξ ὧν ὡμιλήσαμεν· γίνεται γὰρ πολλάκις τίκτειν τι τοιοῦτον τοὺς ἡμῶν διαλογισμούς τε, καὶ λόγους ἐν ὕπνοις, ὁποῖον περὶ ὁμήρου ἔννιος γράφει. περὶ οὗ δὴ συνεχέστατα ἀγρυπνῶν εἰώθει μελετᾶν τε, καὶ διαλέγεσθαι.) ὁ ἀφρικανὸς ἑαυτὸν ἐνεφάνισε ταύτῃ τῇ μορφῇ, ἣ μοι ἐκ τῆς εἰκόνος αὐτοῦ μᾶλλον, ἢ ἐξ αὐτοῦ ἐκείνου γνώριμος ἦν. ὃν αὐτὸς μὲν ἐπιγνούς, ἔφριξα· ὁ δὲ, τῷ νοΐ, φησὶ, πάρει σκιπίων, καὶ δὴ τὸ δέος ἀπόθου, καὶ ἅττα σοι ἐρῶ, τῇ μνήμῃ παράδος. ὁρᾷς ἐκείνην τὴν πόλιν, ἥτις ὑπακούειν τοῖς ῥωμαίων πράγμασι δι' ἐμοῦ καταναγκασθεῖσα, τοὺς παλαιοὺς πολέμους ἀνανεοῖ, καὶ οὐχ οἵα τέ ἐστιν ἡσυχάζειν. (ἐδείκνυε δέ μοι τὴν καρχηδόνα ἐκ μετεώρου, καὶ πλήρους ἄστρων, καὶ αἰθερίου, καὶ λαμπροῦ τινὸς τόπου.) πρὸς ἣν αὐτὸς πολεμήσων νῦν ἥκεις, σχεδὸν στρατιώτης· ταύτῃ τῇ διετίᾳ ὕπατος ἀναστρέψεις, καί σοι ἔσται τόδε τοὐπώνυμον διὰ σαυτοῦ περιποιηθὲν, ὃ κατὰ κληρονομίαν ἐξ ἡμῶν κατέχεις. ἡνίκα δ' αὖ ἐκπολιορκήσῃς τὴν καρχηδόνα, θρίαμβον θήσεις, καὶ τιμητὴς γενήσῃ, καὶ πρεσβευτὴς ἐπ' αἴγυπτον, καὶ συρίαν ἀφίξῃ, καὶ ἀσίαν, καὶ τὴν ἑλλάδα, αἱρεθήσῃ τε αὖθις ὕπατος καὶ ἀποδημῶν. καὶ πόλεμον μέγιστον συγκροτήσεις, καὶ τὴν νουμαντίαν ἐκκόψεις. ἐπειδὰν δὲ δίφρῳ πρὸς τὸ καπιτώλιον ἐνεχθῇς, προσκρούσεις τῇ πολιτείᾳ, τοῖς τοῦ

ΜΑΡΚΟΥ ΤΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ ΟΝΕΙΡΟΣ ΣΚΙΠΙΩΝΟΣ ΕΛΛΗΝΙΣΤΙ.

Ἡνίκα περὶ τὴν ἀφρικὴν ἀφικόμην αὐλίου μανλίου ὑπατεύοντος, ἤδη τὸ τέταρτον τάγμα, δὴ μάρκος, ὡς ἴστε, τῆς στρατιᾶς, οὐδέν μοι γέγονε προὔργου μᾶλλον, ἢ μασανάσσῃ τῷ βασιλεῖ συνελθεῖν, τῆς ἡμετέρας οἰκίας ἐξ αἰτιῶν δικαίων φίλῳ μάλιστα πάντων τυγχάνοντι. πρὸς ὃν ἐλθόντα με περιβαλὼν ὁ γέρων αὐτὸς οὗτος ἐδάκρυσε. καὶ μεθ' ὅσον ἀναβλέψας εἰς οὐρανὸν, χάριτάς σοι, φησὶν, ὕψιστε ἥλιε ἔχω, καὶ ὑμῖν τοῖς ἄλλοις θεοῖς, ὅτι πρὶν, ἢ τοῦδε τοῦ βίου μεταστῆναι, ὁρῶ ἤδη τῆς ἐμαυτοῦ βασιλείας, καὶ τῶν οἰκημάτων τούτων παῦλον κορνήλιον τὸν σκιπίωνα. οὗ αὐτὸς ἐγὼ τῷ ὀνόματι ἀναζωπυροῦμαι. οὕτως οὐκ ἔστιν, ὅτε μου τῆς διανοίας ἀποκεχώρηκεν ἡ τοῦ ἀρίστου ἐκείνου, καὶ πρᾳοτάτου ἀνδρὸς μνήμη. ἐντεῦθεν ἐγὼ μὲν ἐκεῖνον περὶ τῆς αὐτοῦ βασιλείας, ἐμὲ δὲ ἐκεῖνος περὶ τῆς ἡμετέρας πολιτείας ἀνήρετο. πολλοὺς δὲ λόγους δεῦρο, κἀκεῖσε κατ' ἐκείνην ἡμῖν αὐτοῖς τὴν ἡμέραν δεδαπανήκαμεν. μετὰ δὲ ταῦτα βασιλικῇ ὑποδεχθέντες παρασκευῇ τὴν ὁμιλίαν πόρρω τῆς νυκτὸς προηγάγομεν, τοῦ γέροντος μηδὲν ὅτι περὶ τοῦ ἀφρικανοῦ τοῦ μοῦ πάππου ἀνεξερεύνητον καταλιπόντος. ἀλλὰ πάντα τἀκείνου οὐ μόνον ἔργα, ἀλλὰ καὶ ῥήματα διαμνημο-

οὓς ἄρτι ἔφην, ἀλλὰ καὶ ὡς Κάτωνα τὸν ἐμόν. οὐ γὰρ ἀνὴρ βελτίων ἐγένετο οὐδὲ εἷς, οὐδεὶς διαφορώτερος τὴν εὐσέβειαν. οὗ τὸ μὲν σῶμα ἐμβέβληται ὑπ' ἐμοῦ τῇ πυρᾷ, δέον τοὐναντίον, ὑπ' ἐκείνου τοὐμόν. ἡ ψυχὴ δὲ οὐκ ἐγκαταλιμπάνουσά με, ἀλλ' ἐντροπαλιζομένη πως, ὡς ἐκεῖνον οἴχεται ἀπιοῦσα τὸν χῶρον, οἷ ἐμοὶ πορευτέα εἶναι ἐκεῖνος ἐγίνωσκεν. ἣν δὴ ἐγὼ συμφορὰν γενναίως πως ἔδοξα ἐνεγκεῖν, οὐχ ὡς φέρων ἀλύπως, ἀλλὰ παραμυθούμενος ἐμαυτόν, ὡς μὴ μακράν τινα, οἰόμενος τὴν καθ' ἡμᾶς διάζευξίν τε, καὶ ἀποχώρησιν ἔσεσθαι. τούτοις ἐμοὶ ὦ Σκιπίων. (τουτὶ γὰρ εἰωθέναι ἔφησθα θαυμάζειν μετὰ Λαιλίου.) ἀνεπαχθὲς τὸ γῆρας ἐστί, καὶ οὐχ ὅπως τι χαλεπόν, ἀλλὰ καὶ ἡδύ. ὥστε εἰ ταύτῃ του ἁμαρτάνω, ἢ τὰς τῶν ἀνθρώπων ψυχὰς ἀθανάτους οἴομαι εἶναι, ἄσμενος ἁμαρτάνω. οὐδέ τι μὰ Δί' αἱροῦμαι τὸ ἁμάρτημα, ὃ χαίρω δὴ ἁμαρτάνων, τοῦτο, ἕως ἂν ζῶ, ἐξαιρεθῆναι ἀπ' ἐμαυτοῦ. εἴγε μετὰ θάνατον, ὥς τινες κολοβοὶ φιλόσοφοι οἴονται, οὐδενὸς ἐπαισθήσομαι ἔτι. δέος γὰρ οὐδὲν οὕτω μὴ τοῦ ἐμοῦ τουτουὶ πλάνου οἱ τοιοῦτοι φιλόσοφοι ἀποθανόντες καταγελῶσιν. ὥστ' εἰ μὴ καὶ ἀθάνατοι εἶναι μέλλομεν, ἀλλ' οὖν ἀνθρώπῳ εὐκταῖον κατασβέννυσθαι ἐν οἰκείῳ καιρῷ. ἔχει γὰρ μέτρον ἡ φύσις, ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω τοι καὶ ζωῆς. γῆρας δὲ βίου ἐστί, καθάπερ μύθου ἀπεργασία, οὗ δὴ τοὺς καμάτους φεύγειν χρεών, ἄλλως τε καὶ κόρου προσγενομένου.

ταῦτα περὶ γήρως εἶχον εἰπεῖν, ἐς ὃ δὴ καὶ ὑμᾶς γένοιτο ἀφικέσθαι, ἵν', ἅπερ ἐμοῦ ἀκηκόατε, δυνηθείητε ἐπαινέσαι, πεῖραν εἰληφότες τοῦ πράγματος.

δόξαν ἀθανασίας ἀγήρων. τί δέ; πᾶς μὲν σοφώτατος ἀταλαιπώρῳ ψυχῇ τελευτᾷ τὸν βίον, ἀμελετηρώτατος δὲ ταλαιπωροτάτῃ. ἆρ' οὐχὶ καὶ ὑμῖν δοκεῖ, ὡς ἐκείνη μὲν ἡ ψυχὴ ἡ πλέον τι διορῶσα, καὶ πορρωτέρω, ἧς ἀμείνω λῆξιν ἑαυτῇ ἀπιοῦσαν ὁρῶν; αὕτη δὲ, ἧς τὸ ὄμμα ἀμβλύτερον, οὐδὲν ἔχοι ὁρᾶν; ἔγωγε οὖν ἐκφέρομαι σπουδῇ τοῦ τοὺς ἡμετέρους πατέρας θεάσασθαι. οὓς στέργων τε, καὶ θεραπεύων διατετέλεκα. οὐδ' ἄρα τούτους μόνον ἔχω εὑρεῖν, οὓς περ ἔγνων ἐγὼ, ἀλλὰ καὶ ὧν πέρι ἤκουσα, καὶ ἀνέγνων, καὶ αὐτὸς τυγχάνω συγγεγραφώς. οὗ δὴ προχωροῦντά με οὐδεὶς ἂν οἶμαι εὐχερῶς ἀποφέρειεν, οὐδ', ὥσπερ σφαῖραν ἀντικόψας ἀποσφαιρήσειε. κἄν τις θεῶν μοι δωρῆται ἐκ τῆσδε τῆς ἡλικίας ἀνανηπιοῦσθαι, καὶ πάλιν ἐν κοιτίδι βαβάζειν, σφόδρα ἂν παραιτοίμην, δολιχὸν οἷόν τινα ἐκδραμὼν ἐκ τοῦ τέρματος αὖθις τῆς βαλβίδος μετακαλεῖσθαι. τί γὰρ σύμφορον ἔχει ὁ βίος; τί δ' οὐ μᾶλλον αὐτὸ πόνον; εἰ δὲ μὴ, καὶ ἐχέτω τι. ἀλλ' ἔχει δήπου καὶ εἴτε κόρον, εἴτε μέτρον δέοι καλεῖν. οὐ γάρτοι φίλον ἐμοὶ ὀλοφύρεσθαι τὸν βίον. ὃ πολλοὶ δ' ἀπαιδευσίαν πολλάκις φαίνονται δεδρακότες. οὐδέ τις με τοῦ ζῆσαι ἔχει μεταμέλος. ἐπειδὴ οὕτως ἔζησα, ὥστε μὴ μάτην οἴεσθαι γεγενῆσθαι. κἀκ τῆς ζωῆς, ὡς ἐκ πανδοχείου, καὶ οὐχ ὡς ἐξ οἴκου ἀναχωρῶ. διατριβῆς γὰρ καταγώγιον, ἀλλ' οὐ κατοικίαν ἡ φύσις ἡμῖν ἐδεδώκει. ὦ τοίνυν λαμπροτάτης ἡμέρας, ᾗ ἐγὼ παρὰ τὴν θείαν τῶν ψυχῶν ὁμήγυριν, καὶ τὸν ὅμιλον ἄπειμι, ἧγε ἐκ τῆς ἐνθάδε τύρβης, καὶ τῆς χλιδῆς ποτὲ ἀπαλλάξω. πορεύσομαι γάρτοι οὐ μόνον παρ' ἄνδρας,

θειότατοι καταφαίνονται. πολλὰ γὰρ τῶν μελλόντων
ἀνειμέναι οὖσαι, καὶ ἐλεύθεραι προορῶσιν. ὅθεν ἐστὶν ἰ-
δεῖν, ὁποῖαί τινες ἔσονται, ἐπειδὰν παντελῶς τῶν δε-
σμῶν ἀπολυθῶσι τοῦ σώματος. εἰ μὲν οὖν ταῦθ' οὕτως ἔ-
χει, ὡς θεὸν ἐμὲ τιμᾶτε, καὶ θεραπεύετε, εἰ δ' ἄρα συνα-
ποθνήσκει τῷ σώματι ἡ ψυχή, ἀλλ' ὑμεῖς γε θεοὺς φοβού-
μενοι, οἳ τήνδε τὴν τῶν ὅλων τάξιν, καὶ καλλονὴν συγ-
κρατοῦσιν, ἀκριβῆ τε, καὶ ἀναμάρτητον μνήμην ἡμῶν εὐ-
σεβῶς, καὶ ἀνεκβιάστως φυλάξατε. κῦρος μὲν οὖν τε-
λευτῶν τὸν βίον ἐκεῖνα. ἡμεῖς δέ, εἰ δοκεῖ τὰ ἡμέτερα αὐ-
τῶν θεωρῶμεν. οὐδεὶς με οὐδέποτε πείσει ὦ σκιπίων,
ὡς ἢ πόπλιος ὁ σὸς πατήρ, ἢ οἱ δύο πάπποι, παῦλος,
καὶ ἀφρικανός, ἢ ὁ ἀφρικανοῦ πατήρ, ἢ πρὸς πατρὸς
θεῖος, ἢ ἄλλοι πολλοὶ τῶν ἀρίστων, οὓς νῦν ἐξαριθμῆσαι
ἀναγκαῖον οὐδέν, τηλικαῦτα διηγωνίσαντο ἂν εἰς μνή-
μην τῶν ἐν τῷ ἔπειτα ἀνθρώπων φέροντα, εἰ μὴ εἶχον τῇ
ψυχῇ διορᾶν τὰ τῶν μεταγενεστέρων εἰς σφᾶς τείνοντα
αὐτῇ. ἢ ἐμὲ οἴει, ἵνα τι καὶ περὶ ἐμαυτοῦ, γερόντων ἔθει
αὐχήσωμαι, πόνοις ἂν τοσούτοις ἡμέρας τε, καὶ νυκτός,
οἴκοι τε, καὶ ἐν στρατείαις ἀνατλῆναι, εἴπου τοῖς αὐτοῖς
ὅροις τὴν ἐμαυτοῦ εὔκλειαν, οἷς καὶ τὸν βίον ἔμελλον ὁ-
ριεῖν; ἆρ' οὐκ ἂν πολὺ κάλλιον ἦν βίον σχολαῖόν τε, καὶ
ἡσύχιον, πραγμάτων χωρίς, καὶ φιλονεικίας διάγειν;
ἀλλ' οὐκ οἶδα ὅπως ἡ ψυχὴ ἑαυτὴν ἀνορθοῦσα τὰ τῶν ὑστέ-
ρων οὕτως ἀεὶ προεώρα, ὥσπερεὶ τότε μέλλουσα ζῆν, ὅ-
ταν ἀπαλλάγῃ τῆς ἐνθάδε ζωῆς. καὶ μὲν δή, εἰ μὴ οὕτως
εἶχεν ἀθανάτους δηλαδὴ τὰς ψυχὰς εἶναι, σχολῇ γ' ἂν
τῶν βελτίστων ἑκάστου ψυχὴ μάλιστα ἠπείγετο πρὸς

φέρον αὐτῆς, καὶ ἀνόμοιον, μὴ οἷόν τε εἶναι αὐτὴν διαιρεῖσθαι. ὅπερ εἰ μὴ δυνατὸν, μηδ' ἀπόλλυσθαι δυνατὸν εἶναι. τεκμήριόν τε μέγα τοῦ τοὺς ἀνθρώπους καὶ πρὶν γενέσθαι, εἰδέναι πολλὰ, ὅτι παῖδες ἔτι ὄντες. τέχνας μανθάνοντες δυσχερεῖς, οὕτω ταχὺ μυρία χρήματα συναρπάζουσιν, ὥστε μὴ τότε αὐτὰ πρῶτον ἀναλαμβάνοντες, ἀλλ' ἀναμιμνησκόμενοι, καὶ ἀναλογιζόμενοι φαίνεσθαι. καὶ ταῦτα μὲν πλάτωνος. παρὰ ξενοφῶντι δὲ κῦρος ὁ πρεσβύτερος ἀποθνήσκων, ὧδέ φησι. μὴ οἴεσθε, ἔφη, ὦ φίλοι παῖδες, ὡς οὐδὲν οὐδαμοῦ ἐγὼ ἔσομαι, ἐπειδὰν ἀφ' ὑμῶν ἀποχωρήσω. οὐδὲ γὰρ, ὅτε ἦν μεθ' ὑμῶν, τὴν ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπραττόμην, ταύτην αὐτὴν ὡς οὖσαν ἐν τῷ σώματι τούτῳ κατεθεωρᾶτε. τὴν αὐτὴν τοίνυν πίθεσθε εἶναι, κἂν εἰ μηδὲν ἔτι ἔχοιτε ὁρᾶν. οὐδὲ γὰρ αἱ τῶν ἐλλογίμων ἀνδρῶν μετὰ θάνατον αἱ τιμαὶ διέμενον, εἰ μηδὲν αὐτῶν αἱ ψυχαὶ ἀπετέλουν, ᾧ τὴν μνήμην αὐτῶν ἂν συντηροίημεν χρονιώτερον. οὕτως ἔγωγε οὐδεπώποτ' ἐπείσθην, ὡς ἡ ψυχὴ, ἕως ἂν ᾖ ἐν θνητῷ σώματι, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. οὐδέ γε, ὅπως ἄφρων ἔσται ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται. ἀλλ' ὅταν ἄκρατος ὁ νοῦς ἐκκριθεὶς, εἰλικρινής τε, καὶ ἀκέραιος ἄρχηται εἶναι, τότε καὶ φρονιμώτερός ἐστι. θανάτῳ δὲ διαλυομένης τῆς τοῦ ἀνθρώπου φύσεως, τὰ μὲν ἄλλων, εὔδηλον, ὅπου ἕκαστα μεταλλάττει. ἄπεισι γὰρ ἐκεῖσε πάντα, ὅθεν προῆλθεν. ἡ ψυχὴ δὲ μόνη οὔτε παροῦσα, οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δὲ, ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου. αἱ ψυχαὶ δὲ τότε δήπου τῶν κοιμωμένων

τινὰ ἀνάγκης, καὶ ἔργον ἀνύομεν ἐπαχθές. ἡ γάρ τοι ψυχὴ οὐράνιός ἐστιν, ἐξ ὑπερησομίου οἰκήματος ἐκπεπιεσμένη, καὶ εἰς γῆν, ὥσπερ βεβαπτισμένη, τόπον φύσει θείᾳ, καὶ ἀϊδιότητι ἐναντίον. ἀλλὰ γὰρ πείθομαι τοὺς ἀεὶ ὄντας θεοὺς σκεδάσαι δὴ τὰς ψυχὰς εἰς τὰ ἀνθρώπινα σώματα. ἵν' εἶεν, οἵ τ' αὖ τῶν ἐπιγείων ἐπιμελοῖντο, καὶ οἱ τὴν τῶν οὐρανίων εὐταξίαν θεωροῦντες, μέτρῳ τε βίου, καὶ εὐσταθίᾳ ταύτην ἀπομιμοῖντο. καὶ ταῦτα οὐ μόνον λόγος τε, καὶ διάλεξις οὕτω με πείθεσθαι ἀναγκάζει, ἀλλὰ καὶ τῶν ἄκρων δὴ φιλοσόφων τὸ εὐγενές τε, καὶ ἔνδοξον. ἤκουον γὰρ πυθαγόραν τε, καὶ τοὺς πυθαγορείους τοὺς ἡμετέρους σχεδόν τι ἐπιχωρίους. οἳ τὸ πάλαι ἰταλικοὶ ἐκαλοῦντο φιλόσοφοι, μηδεπώποτ' ἀμφισβητῆσαι, ὡς οὐκ ἐκ τοῦ καθόλου θείου νοῦ ἀπορρυείσας ἔχοιμεν τὰς ψυχάς. ἀπεδείκνυτο δέ μοι πρὸς τούτοις καὶ ἄλλα σωκράτης τῇ τελευταίᾳ τοῦ βίου ἀθανασίας περὶ ψυχῶν διελέχθη, ὃς χρησμῷ τοῦ ἀπόλλωνος σοφώτατος κέκριται ἁπάντων. ἀλλὰ τί δεῖ πολλὰ λέγειν; οὕτως ἔγωγε ἐμαυτὸν πείθω, καὶ ταύτῃ φρονῶ, ὅτι, ἐπειδὴ τάχος τοσοῦτον ἔνεστι ταῖς ψυχαῖς, καὶ τοσαύτη μνήμη μὲν παρεληλυθότων, σύνεσις δὲ μελλόντων, καὶ τοσαῦται τέχναι, τοσαῦται ἐπιστῆμαι, τοσαῦτα εὑρήματα, οὐχ οἷόν τε τὴν περιέχουσαν ταῦτα φύσιν εἶναι θνητήν. καὶ ἐπειδὴ ψυχὴ κινεῖται ἀεί, οὐδ' ἀρχὴν κινήσεως ἔχει διὰ τὸ αὐτὴν ἑαυτὴν κινεῖν, μηδέ γε τέλος κινήσεως ἕξειν, διὰ τὸ μηδέποτε αὐτὴν ἑαυτὴν καταλείψειν. καὶ ἐπειδὴ ἡ τῆς ψυχῆς φύσις ἐστὶν ἁπλῆ, οὐδ' ἔχει τι ἐν ἑαυτῇ κεκραμένον, διὰ

συνάρχοντος ἐν τῇ περὶ κάννας ἀτιμίᾳ θρασύτητος, οὐ μάρκον μάρκελλον, ὃν ἀναιρεθέντα οὐδ᾽ ὁ ἀπηνέστατός γε πολέμιος, τιμῆς στερέσθαι ἤδη ταφῆς ἠνέσχετο. ἀλλ᾽ ἄλλα τὰ ἡμέτερα πράγματα, ὃ δὴ κἀν ταῖς ἀρχαιολογίαις ἀνέγραψα, εἰς τόπον τοιοῦτον ἐφορμῶντα πολλάκις ἀκραιφνεῖ, καὶ ἀπλῶς τῇ ψυχῇ, ὅθεν οὐδέποτ᾽ ἂν ἐδόκει ἐπανελθεῖν. οὐ τοίνυν νεανίσκοι, καὶ οὗτοι μὴ ὅτι ἀδίδακτοι, ἀλλὰ καὶ ἄγροικοι καταφρονοῦσι, τοῦτο γέροντες σοφοὶ καταπλήξουσιν; παντάπασιν, ὥς γε ἐμοὶ δοκεῖ, ὁ περὶ ἑκάστην σπουδὴν κόρος καὶ βίου ἐναπεργάζεται κόρον. εἰσὶ μὲν γάρ τοι παιδὸς ἀποδεδειγμέναι σπουδαί. μὴ γὰρ ταύτας ἤδη ποθεῖ τὰ μειράκια; εἰσὶ γὰρ καὶ μειρακίων ἄλλαι τινῶν. μῶν ταύτας ἤδη ἡ σταθερὰ ἡλικία μεταδιώκει; ἡ μέση καλεῖται. εἰσὶ δὲ καὶ τῆσδε τῆς ἡλικίας. ἀλλ᾽ οὐδ᾽ αὖ ταί γε ὑπὸ γήρως ἤδη ζητοῦνται. εἰσὶ δὲ καὶ γήρως σπουδαί τινων τελευταῖαι. οὐκοῦν, ὥσπερ αἱ τῶν ἀνωτέρων ἡλικιῶν σπουδαὶ δύουσιν ἀεί, οὕτω καὶ αἱ τοῦ γήρως. οὐ δὴ παραγενομένου ὁ τοῦ βίου κόρος καιρὸν τῷ θανάτῳ ἐπάγει ὡραῖον. ἀλλ᾽ ἔγωγε οὐχ ὁρῶ, τί ποτε λέγειν οὐ τολμῶ πρὸς ὑμᾶς, ἅπερ αὐτὸς φρονῶ περὶ τοῦ θανάτου, ἅπερ ταύτῃ που βέλτιον ἀθρεῖν μοι δοκῶ, ἢ δὴ ἧσσον πόρρω τούτου ἀφέστηκα. ἐγὼ γὰρ τοὺς πατέρας ὑμῶν ὦ πόπλιε σκιπίων, καὶ γάϊε λαίλιε τοὺς ἐνδοξοτάτους ἐκείνους, καὶ προσφιλεστάτους μοι ἄνδρας, ζῆν ἡγοῦμαι, καὶ ταύτην γε τὴν ζωήν, ἣν μόνον χρὴ ζωὴν ὀνομάζειν. καὶ γὰρ ἕως ἂν ὦμεν ἐγκατακεκλειμένοι ταῖς ἀλληλουχίαις τοῖσδε τοῦ σώματος, λειτουργίαν

πομένου, μήτε τι μεθίεσθαι αὐτοῦ αἰτίας, ἐπεὶ καὶ πυθαγόρας κωλύει, προστάγματος αὐτοῦ τοῦ αὐτοκράτορος, τοῦ θεοῦ δηλονότι, ἐκ τῆς φρουρᾶς ἀναχωρεῖν, καὶ τῆς περὶ τὸ ζῆν φυλακῆς. σόλωνος δὲ τοῦ σοφοῦ ἐλεγεῖόν ἐστιν. ᾧ τὸν αὐτοῦ θάνατον οὔ φησι βούλεσθαι καθαρὸν λύπης εἶναι, καὶ ὀλοφυρμῶν τῶν ἐπιτηδείων. ποθεινὸς γὰρ ὅδ', οἶμαι, τοῖς ἑαυτοῦ εἶναι ἐθέλει. ἀλλ' ἴσως ἔννιος ἄμεινον.

οὔτις κυδαίνων, ἤ πεῖτ', ἐμὲ δάκρυ ἀφήσει,
οὐδὲ τάφον μοι θήσει λυγρὸν ἐπιστοναχίζων.

οὐ γὰρ οἴεται θρηνητέον τὸν θάνατον, ᾧ γ' ἀθανασία παρέπεται. ἤδη δ' αἴσθησις μέν τις ἀποθνήσκειν, εἴ τις καὶ εἴη, ἐπὶ χρόνον ἥγε ἀδρανῆ διαρκεῖ ἄλλως τε καὶ γέροντι, μετὰ θάνατον δὲ, ἤτοι εὐκταία, ἢ οὐδεμία ἐστὶν αἴσθησις. ἀλλὰ γὰρ ἐκ νέου δεῖ ἔχειν μεμελετημένον θανάτου καταφρονεῖν, ὡς ἄνευ ταύτης τῆς μελέτης, οὐκ ἐνόντως ἔχειν τὴν ψυχὴν ἀθορύβως. ἀποθανεῖν γάρ τοι ὡς ἀληθῶς δεῖ, καὶ τοῦτ' ἄδηλον, εἰ ἐν αὐτῇ ταύτῃ τῇ ἡμέρᾳ. τὸν οὖν ὅσαι ὧραι, ἐπηρτημένον θάνατον δεδιώς, τίς ἂν ἀτρεμίζειν τὴν ψυχὴν οἷός τε εἴη; τούτου γε μὴν πέρι οὐ πολλῆς τινος διαλέξεως ἔοικε δεῖν. ὁπότε καὶ ἔχω ἐν νῷ οὐ λεύκιον βροῦτον, ὃς ἐπ' ἐλευθερίᾳ τῆς πατρίδος ἀνῄρηται, τοὺς δύο δεκίους, οἳ πρὸς μόρον ἑκούσιον τοῖς ἵπποις δρόμῳ συνέτειναν, οὐ μάρκον ἀτίλιον, ὃς ἐπὶ τιμωρίαν ἀπήλασεν, ὅπως τὴν δοθεῖσαν τῷ πολεμίῳ πίστιν εἴη τετηρηκώς, οὐ τοὺς δύο σκιπίωνας, οἳ καὶ τοῖς σφετέροις σώμασιν ἔφοδον τοῖς λίβυσιν ἀντιτάξασθαι ἠξιώκασιν, οὐ λεύκιον παῦλον τὸν πάππον τὸν σὸν, ὃς εἰς θάνατον παραπολέλαυκε τῆς τοῦ

πλησμονῇ ὕδατος, φλογὸς καταπιέζηται δύναμις. γερόντων δὲ, ὥσπερ, ὅτε πῦρ ἀφ' ἑαυτοῦ μηδεμιᾶς βίας ἐπενεχθείσης ἄλλωθεν ἀποσβέννυται. καὶ, ὥσπερ ὀπῶραι, ἃς μὲν ἄωροι τυγχάνουσιν οὖσαι, βίᾳ κατασπῶνται τῶν δένδρων, αἱ δ' ὡραῖαι, καὶ πέπονες, αὐτομάτως καταπίπτουσιν, ὡς δὲ καὶ νέων μὲν τὸ ζῆν ἀφαιρεῖται βίᾳ, γερόντων δὲ πέπανσις ὡραία. ἣ δὴ οὕτως ἔμοιγε προσηνής ἐστιν, ὥσθ' ὅσῳ ἐγγυτέρω γίγνομαι τοῦ θανάτου, γῆν οἷον ὁρᾶν μοι δοκῶ, καί ποτε μέλλειν ἐκ μακροῦ πλοῦ εἰς λιμένα καταίρειν. καὶ πασῶν μὲν τῶν ἄλλων ἡλικιῶν ἀποδέδεικται προθεσμία, γήρως δ' οὐδεὶς ὥρισται ὅρος. ὀρθῶς τ' ἔχει τὸ ζῆν ἐν αὐτῷ, ἐφ' ὅσον ἄν τις κατορθοῦν τὴν καθήκοντος ὑπουργίαν, καὶ φυλάσσειν οἷός τε ᾖ, καὶ μέν τοι θανάτου καταφρονεῖν. ὥστε καὶ κινδυνεύει θαρραλεώτερόν τε, καὶ ἀνδρειότερον νεότητος εἶναι τὸ γῆρας. καὶ τοῦτ' ἔστιν οἶμαι, ὃ πεισιστράτῳ τῷ τυράννῳ ἀπεκρίνατο σόλων, ὅτ' ἐρωτῶντι αὐτῷ, τίνι δήποτε πεποιθὼς ἐλπίδι, εὐτόλμως οὕτως οἱ ἐνίσταται, γήρᾳ, ἔφη. πέρας γε μὴν ἄριστον βίου, ὅταν ἀκεραίου ἔτι ὄντος τοῦ νοῦ, καὶ ὑγιαινουσῶν τῶν αἰσθήσεων, τὸ οἰκεῖον ἔργον αὐτὴ διαλύσῃ, ἥτις καὶ συνέστησε φύσις. ὡς γὰρ ναῦν τε, καὶ οἰκοδόμημα ὁ αὐτὸς ῥᾷστα καταλύει, ὅς τις καὶ κατεσκεύασεν, οὕτως ἄρα καὶ ἄνθρωπον ἄριστα ἡ αὐτὴ διαλύει, ἥτις καὶ συνέστησε φύσις. ἤδη δὲ πᾶσα σύστασις πρόσφατος μὲν οὖσα, χαλεπῶς διασπᾶται, παλαιωθεῖσα δέ τοι, πάνυ ῥᾳδίως. οὕτω δὴ συμβαίνει, μήτ' ἄγαν ὀρέγεσθαι χρῆναι τοὺς γέροντας αὐτοῦ τοῦ ὧδε βραχύ τι τῆς ζωῆς ὑπολει-

σίων ζωὴν ἀποβλέψωμεν. ἐγένετο γὰρ, ὡς ἔστιν ἀναγε-
γραμμένον ἰδεῖν, Ἀργανθώνιός τις Γαδιτανὸς, ὃς ὀγ-
δοήκοντα μὲν ἐβασίλευσεν ἔτη, εἴκοσι δὲ, καὶ ἑκατὸν
ἐβίωσεν. ἀλλ' ἐμοὶ οὐ χρόνιον δοκεῖ οὐδὲ ἕν, ἐν ᾧ τί ἐστι
τελευταῖον. ἐπειδὰν γὰρ αὐτὸ παραγένηται, ἐκεῖνο
τὸ παρεληλυθὸς ἐξερρύη. καὶ τοσοῦτον δὴ παραμέ-
νει μόνον, ὁπόσον ἀρετῇ, καὶ ἔργοις ὀρθοῖς περιεποιή-
σω. ὧραι μὲν γὰρ ὑποχωροῦσι, καὶ ἡμέραι, καὶ μῆνες,
καὶ ἐνιαυτοί. οὐδ' ὁ παρεληλυθὼς ποτε ἀναστρέφει
χρόνος, οὐδ' ὅτι ἕπεται, δυνατὸν εἰδέναι. ὁπόσος οὖν ἑ-
κάστῳ πρὸς ζωὴν δίδοται χρόνος, στέργειν αὐτῷ τοσού-
τῳ χρεών. οὔτε γὰρ ὑποκριτῇ ἀπεργαστέος ἅπας ὁ μῦ-
θος, ὅπως ἀρέσῃ, ἀλλὰ μόνον, ἐν ὅτῳ τύχοι δράματι, εὐ-
δοκιμήσειν. οὔτε σοφῷ ἄχρι τοῦ, κροτεῖτε, ἰτέον. βρα-
χὺς γὰρ βίου χρόνος ἅλις ἐστὶ μήκους πρὸς τὸ εὖ, καὶ
καλῶς βιοτεύειν. εἰ δὲ καὶ περαιτέρω χωρήσαις, οὐδὲν
μᾶλλον τῶν γεωργῶν ἀνιᾶσθαι χρὴ, ἐφ' ᾧ τῆς ἡδίστου
τῆς ἐαρινῆς παρεληλυθότος ὥρας θέρος τε, καὶ φθι-
νόπωρον ἐφεστηκέναι. τὸ μὲν γὰρ ἔαρ τὸν νεανίσκον οἷον,
σημαίνει, καὶ καρποὺς μέλλοντας ἔσεσθαι ἐπιδείκνυ-
σιν. αἱ λοιπαὶ δ' ὧραι ἀπὸ τῶν καρπῶν ἀμητῷ, καὶ τῇ
κομιδῇ συνῳκείωνται. καρπὸς δὲ γήρως, ὡς πολλά-
κις ἔφθην εἰπὼν, ἡ τῶν πρόσθεν ἀγαθῶν πλεονεκτημά-
των μνήμη, καὶ εὐπορία. πάντα δὲ τὰ κατὰ φύσιν γινό-
μενα θετέον ἐν ἀγαθοῖς. τί δ' οὕτω κατὰ φύσιν, ὡς γη-
ραιοῖς τὸ τεθνάναι; ὃ δὴ καὶ νέοις συμβαίνει τ' αὐτὸ, ἐ-
ναντιουμένης τε, καὶ ἀμυνομένης τῆς φύσεως. διὸ καὶ
νέοι μὲν ἀποθνήσκειν ἐμοὶ δοκοῦσι, καθάπερ ὅταν

τελέως τὴν ψυχὴν ἀποσβέννυσιν, ἢ καὶ εὐκταῖος, εἴ ποι αὐτὴν ἀπάγοι, ἢ μέλλοι εἶναι ἀΐδιος. καὶ τρίτον οὐδὲν, ὡς ἀληθῶς οἷόν τε εὑρεῖν. τί οὖν δείσω, εἰ μετὰ θάνατον ἢ οὐκ ἄθλιος, ἢ μακάριος ἔσομαι; καίτοι τίς οὕτως εὐήθης, κἂν νεανίσκος ᾖ, ὃς βεβαίως οἴοιτο ζήσειν ἄχρι ἑσπέρας; κἀκείνη γάρ τοι ἡ ἡλικία πολὺ πλείους τῆς ἡμετέρας συντυχίας ἴσχει θανάτου. ῥᾶον γὰρ περιπίπτουσι νόσοις οἱ νέοι, χαλεπώτερον ἀσθενοῦσι, δυσχερέστερον θεραπεύονται. ὅθεν δὴ καὶ πάνυ ὀλίγοι ἥκουσιν ἐπὶ γῆρας, ὅπερ εἰ μὴ ταύτῃ συνέβαινε βελτιόνως ἂν εἶχε, καὶ φρονιμωτέρως ὁ βίος. νοῦς γὰρ, καὶ λόγος, καὶ εὐβουλία γέρουσιν ἔνεστιν. ὧν εἰ μηδεὶς ἦν, οὐδὲ πόλεις ἂν τοπαράπαν ἦσαν. ἀλλ᾽ εἰς τὸν ἐπηρτημένον αὐτὸν ἐπάνειμι θάνατον. τί γὰρ ἔγκλημα γήρως ἐκεῖνο, ὅτι κοινὸν πρὸς νεότητα ὂν ὁρᾶται. ᾐσθόμην ἔγωγε τὰ μὲν ἐπὶ τοῦ ἐμοῦ βελτίστου υἱέος, τὰ δ᾽ ἐπὶ τῶν εἰς ἀξίαν ὑψηλοτάτην προσδοκωμένων σῶν ἀδελφῶν ὦ Σκιπίων, κοινὸν ὄντα ἡλικίᾳ πάσῃ τὸν θάνατον. ἀλλ᾽ ὅ γε νεανίσκος ἐλπίζει βιώσειν ἐπὶ πολὺ, ὅπερ ὁ γέρων ἐλπίσαι κατὰ ταυτὰ οὐκ ἂν ἔχοι. ἀνοήτως μὲν οὖν ἐλπίζει. τί γὰρ εὐηθέστερον τοῦ πρόδηλα ἀντ᾽ ἀδήλων λαμβάνειν, καὶ ψευδῆ ἀντὶ ἀληθῶν; οὐ μὴν ἀλλ᾽ οὐδ᾽, ὅτι δὴ καὶ ἐλπίσειεν ἔχοι ὁ γέρων. ἀλλ᾽ ἔστι κἀνταῦθα ἐν καταστάσει βελτίονι νεανίσκου, εἴγ᾽ ὃς ἤδη τετύχηκεν, ὧν ἐκεῖνος ἔτι ἐλπίζει. ὁ μὲν γὰρ ἐπὶ πολὺ βούλεται ζῆσαι, ὁ δ᾽ ἐπὶ πολὺ ἔζησε. καίτοι ὦ θεοὶ πανάγαθοι ἐν ἀνθρώπου ζωῇ τί ἂν εἴη ἐπὶ πολύ; δέσεις γὰρ τελευταῖόν που χρόνον. κἂν εἰς τὴν βασιλέως τῶν Ταρτησσ-

βάλλεσθαι τοῖς τοῦ ἀξιώματος γέρασιν; οἷς οἱ διαφα-
νῶς χρησάμενοι τὸν τοῦ βίου μῦθον ἐμοὶ δοκοῦσιν διη-
νυκέναι. νὴ Δί' ἀλλ' εἰσί τινες δυσάρεστοι, καὶ δύσκολοι,
καὶ δυσάνιοι, καὶ ὀργίλοι. καὶ δυσξύμβολοι, καὶ ἀπρο-
σήγοροι γέροντες, ἢν δὲ πολυπραγμονῶμεν, καὶ φει-
δωλοί. ἀλλὰ ταῦτα οὐ γήρως, ἀλλ' ἤθους κακία ἐστίν.
καίτοι καὶ τὸ δυσάρεστον αὐτὸ, καὶ ὅσα προέφην, ἔ-
χοντ' ἀπολογίαν τινὰ φαίνεται, οὐ μέντοι κείνην γε τὴν
δικαίαν, ἀλλ' ἣ ἂν δυνατὴ δοκιμάσαι πως δόξειεν· κα-
ταφρονεῖσθαι γὰρ οἴονται, παροράσθαι, ἐμπαίζεσθαι. πρὸς
δὲ, καὶ εἰς ἀσθενὲς σῶμα μισητὸν πρόσκρουμα ἅπαν
ἐστίν. ὅμως μὴν ταῦτα καὶ δι' ἠθῶν εὐτροπίαν, καὶ δι' ἐπι-
στημῶν μάθησιν πέφυκε γίγνεσθαι ἡδίω. τοῦτο δ' ἐστὶ κα-
ταμαθεῖν τῇ μὲν ἐπ' αὐτοῦ τοῦ βίου, τῇ δ' ἐπὶ τῆς σκη-
νῆς ἐξ αὐτῶν τῶν ἐν τῇ κωμῳδίᾳ ἀδελφῶν. ὅση μὲν γὰρ
ἐν τῷ σκληρότης, ὅση δ' ἐν τῷ φιλοφροσύνη; οὕτω καὶ
γὰρ ἔχει. καθάπερ οὐ πᾶς οἶνος, οὕτως οὐδὲ πᾶς βίος
ὀξύνει παλαιωθείς. αὐστηρότητα μὲν οὖν ἀποδέχομαι
γήρως, καὶ ταῦτα, ὡς καὶ τἆλλα μετρίαν. στρυφνότητα
δὲ οὐδ' ὁπωστιοῦν. φειδωλία δὲ γερόντων ὅτι βούλοι-
το, οὐ μανθάνω. τί γὰρ ἀτοπώτερον τοῦ ταύτῃ πλείω ζη-
τεῖν ἐφόδια, ᾗ ἐλάσσων ὁδὸς καταλείπεται. λοιπὴ
δὲ ἡ τετάρτη τῶν αἰτιῶν. ἣ μάλιστα περιλυπεῖν τε δο-
κεῖ, καὶ πολυμέριμνον ἴσχειν τὴν ἡμετέραν ἡλικίαν, ἡ
τοῦ θανάτου γειτνίασις. ὅν γε, ὡς ἀληθῶς, πόρρω που
γήρως εἶναι οὐκ ἐγχωρεῖ. ἀλλ' ὢ γέροντος κακοδαίμο-
νος, ὃς δι' οὕτω βίου μακροῦ καὶ φρονητέον ὄντα οὐκ ἴδοι
τὸν θάνατον. ὃς ἤτοι καθάπαξ ὀλιγωρητέος ἐστὶν, ἅπαν

καὶ προσφέρειν ἀξίωμα. ἀλλ' ὁ πρὸ τοῦ καλῶς διηγμένος βίος καρποὺς πλούτου φέρεται ἀξιώματος. ταυτὶ γάρ ἐστιν ἅττα που τὰ ἔντιμα, ἄπερ ἐλαφρὰ, καὶ κοινά πως δοκεῖ, ἀσπάζεσθαι, ἐφίεσθαι, ἐξίστασθαι, ὑπανίστασθαι, προπέμπειν, ἐπαναπέμπειν, συμβουλεύεσθαι, ἃ δὴ καὶ ἐν ἡμῖν, καὶ ἐν ταῖς ἄλλαις τῶν πόλεων, ὡς ἄριστα ἠθῶν ἔχει ἑκάστη, οὕτω τοι καὶ ἀκριβέστατα διασώζεται. λύσανδρον οὖν τὸν λακεδαιμόνιον, οὗ μνείαν πεποίημαι, λέγειν εἰωθέναι φασὶν, ὅτι εὐσχημονέστατον γήρως δωμάτιον ἐν λακεδαίμονι εἴη. οὐδαμοῦ γὰρ ἀπονέμοιτο ἡλικίᾳ τοσοῦτον, οὐδαμοῦ τὸ γῆρας ἐντιμότερον εἴη. οὐ μὴν ἀλλὰ καὶ παραδέδοται εἰς μνήμην, ὡς ἀθήνησιν θεῶν ἐπιτελουμένων, τινὸς τῶν πρεσβυτάτων εἰς τὸ θέατρον παρεληλυθότος, οὐδαμοῦ τοῦ μεγάλου συνεδρείου τόπος αὐτῷ δοθείη ὑπὸ τῶν αὐτοῦ πολιτῶν. ὡς δὲ πρὸς λακεδαιμονίους παρεγένετο, οἱ πρέσβεις ὄντες ἐν ἀποδεδειγμένῳ τόπῳ ἐτύγχανον συνεδρεύοντες, πάντας ὑπαναστῆναι λέγεται, καὶ εἰς ἕδραν παρειληφέναι τὸν γέροντα, ἐφ' οἷς κρότου συχνοῦ παρὰ παντὸς γενομένου τοῦ συνεδρείου φάναι τινὰ αὐτῶν, ὡς ἀθηναῖοι ἐπίστανται μὲν τὰ ὀρθῶς ἔχοντα, ποιεῖν δὲ ἥκιστα αἱροῦνται. κἀν τῷ ἡμετέρῳ δὲ συλλόγῳ πολλὰ μὲν τῶν ἀξιολογωτάτων ἐστὶν ἰδεῖν, τοῦτο δὲ εἰς τὰ πρῶτα, οὐ πέρι ὁ λόγος. ὡς γὰρ ἕκαστος ἡλικίᾳ προέχῃ, οὕτω καὶ τὸ περὶ τὰς γνώμας ἀνήρηται κράτος. οὐδὲ μόνον τῶν ἄλλων ἐπιτιμίᾳ προεχόντων, ἀλλὰ καὶ τῶν ἐν ἡγεμονίᾳ ὄντων αὐτῶν, οἱ πρεσβύτεροι τῶν οἰωνοσκόπων προάγονται. τίνες δὴ σώματος ἡδοναὶ ἄξιαι παρα-

εἰς ἔτος ἑκατοστὸν παρατείναντα τὸ ζῆν πυνθανόμεθα, διαιτώμενον ἐν ἀγροῖς τοῦ βίου ἤδη πεπερασμένου. καὶ γεωργίᾳ προσέχοντα. ᾧ δὴ ἀπό γε τῆς πρώτης ὑπατείας ἐπὶ τὴν ἕκτην ἑπτὰ καὶ τεσσαράκοντα ἔτη διεγεγόνει. ὥσθ᾽, ὅσον ἡλικίας διάστημα ἐπὶ τὴν τοῦ γήρως ἀρχὴν οἱ ἡμέτεροι πρόγονοι ἠξιώκασιν εἶναι, τοσοῦτος ἐκείνῳ δρόμος παρετάθη τιμῶν. καὶ τοὔσχατον τῆς αὐτοῦ ἡλικίας ταύτῃ τοῦ μέσου μακαριώτερον, ᾗ ἀξίωμα μὲν μεῖζον, πόνον δὲ εἶχεν ἐλάσσω. οὔπω γήρως κολοφὼν ἐστὶ τὸ ἀξίωμα. ὅσον μὲν οὖν ἐν λουκίῳ καικιλίῳ μετέλλῳ; ὅσον δ᾽ ἐν ἀτιλίῳ καλατίνῳ, εἰς ὃν ἕνα, πλεῖστα ἔθνη τὸ ἐλεγεῖον ἐκεῖνο συνᾴδει.

πρῶτος ἀνὴρ ὅδ᾽ ἔην ἄστεος εὐρυόχου. γνώριμον εὖ μάλα τὸ ἔπος ἐπικεχαραγμένον τῷ τάφῳ. ἐνδίκως ἄρ᾽ ἦν σεμνὸς, ὅτῳ τοὺς ἐπαίνους ἡ παρὰ πάντων φήμη ὁμογνωμονοῦσα τυγχάνει. οἷον δ᾽ ἄνδρα νεωστὶ πόπλιον κράσσον ἀρχιερέα μέγιστον τεθεάμεθα; οἷον δὴ μετὰ ταῦτα, μάρκον λέπιδον τῇ αὐτῇ ταύτῃ κεκοσμημένον ἱερωσύνῃ; τί δὲ παύλου πέρι, ἢ ἀφρικανοῦ λέγω; ἢ ὡς πρόσθεν ἤδη, περὶ μαξίμου, ὧν οὐ τῇ γνώμῃ μόνον ἀλλὰ νεύματι αὐτῷ ἐπεκάθιζε τὸ ἀξίωμα, ὥστ᾽ ἂν περὶ πλείονος εἶναι πασῶν ὁμοῦ τῶν ἡδονῶν τῆς νεότητος. ἀλλὰ γὰρ μεμνῆσθαι δεῖ παρὰ πάντα τὸν λόγον, ὡς ἐγὼ γῆρας ἐκεῖνο δὴ ἐπαινῶ, ὅπερ ἐπὶ κρηπίδος νεότητος βεβηκὸς ἕστηκεν. τοῦτ᾽ ἄρα καὶ συμβαίνει, ὅπερ αὐτὸς πάλαι σὺν ὁμολογίᾳ μεγάλῃ ἁπάντων ἀπεφηνάμην, ὡς ἄρα ἄθλιον γῆρας εἴη τὸ λόγῳ μόνον προϊστάμενον ἑαυτοῦ. οὐ γὰρ πολιαὶ, οὐδὲ ῥυτίδες ἐξαίφνης ἱκα-

κατὰ τὴν οἰκίαν πραγμάτων, ὅπερ οἰκονομικὴ ἐπιγρά-
φεται. καὶ ἵν' εἰδῆτε μηδὲν βασιλικὸν οὕτω δοκεῖν, ὡς
τὴν περὶ γεωργίας σπουδήν, σωκράτει λόγος ἐν αὐτῷ
πρὸς κριτόβουλον, κῦρον τὸν νεώτερον βασιλέα περ-
σῶν ἀγχινοίας τε, καὶ ἡγεμονίας εὐκλείας διάφορον, ὅ
τε λύσανδρος ὁ λακεδαιμόνιος ἀνὴρ ἐπ' ἀρετῆς ἄ-
κρον ἐληλακώς, ἀφίκετο πρὸς αὐτὸν εἰς σάρδεις κο-
μίζων τὰ παρὰ τῶν συμμάχων δῶρα, τά τε ἄλλα κοι-
νῶς, καὶ φιλανθρώπως λυσάνδρῳ προσενεχθῆναι. καί
τινα συμπεφραγμένον ἀγρὸν, πεφυτευμένον πρὸς ἀ-
κρίβειαν ἐπιδεῖξαι. ἐπεὶ δὲ ἐθαύμαζεν ὁ λύσανδρος
τάς τε τῶν δένδρων εὐθυωρείας, καὶ τοὺς ὀρθοὺς εἰς πεν-
τάδα εὐγώνιον στίχους, καὶ τὸ τῆς γῆς μαλθακὸν, καὶ
ὑπόκουφον, καὶ τὴν τῶν ἀνθέων ἀποπνεομένην καθα-
ρῶς ἡδεῖαν ὀσμὴν, καὶ θαυμάζων εἶπε, μὴ μόνον τὸ ἀ-
πηκριβωμένον, ἀλλὰ καὶ τὸ φιλότεχνον θαυμάζειν τοῦ
καταμετρήσαντος ἐκεῖνα, καὶ διατάξαντος, τὸν κῦρον
ἀποκρίνασθαι, ἐγὼ τοίνυν ταῦτα διεμέτρησα πάντα,
ἐμοὶ εἰσὶν οἱ ὄρχοι, ἐμὴ ἡ διάταξις, πολλὰ δὲ τῶν δέν-
δρων αὐτοῦ, καὶ χειρὶ πεφύτευται τῇ ἐμῇ. καὶ τὸν λύ-
σανδρον ἀποβλέποντα εἰς τε τὸν πορφυροῦν κάνδυν
καὶ τὸν πολλοῦ χρυσοῦ, καὶ πολλῶν λίθων περσικὸν
κόσμον, εἰπεῖν, ὀρθῶς ἄρα ὦ κῦρε μακάριόν σε εἶναί
φασι. τύχη γὰρ παρέζευκταί σου τῇ ἀρετῇ. ταύτης τοί-
νυν ἔξεστι καὶ γέρουσιν ἀπολαύειν. οὐδέ τι τὰ τῆς ἡλι-
κίας ἀπείργει, ὥστε ἧσσον τῶν τε ἄλλων, καὶ τοῦ γεωργεῖν
ἐν τοῖς μάλιστα ποιεῖσθαι σπουδὴν ἄχρι τελευταίου
χρόνου γήρως. ἐπεὶ καὶ μάρκον οὐαλέριον κορβῖνον,

εἰς ἔτος

φοφλῶ, εἴς τε θεῶν θεραπείαν. ἵν᾽ ἐπιδῇ τινὸς τὰ τοιάδε ποθοῦσιν, ὡς χαίρειν ἤδη τῇ ἡδονῇ ἐπανήκωμεν. ἀεὶ γὰρ τοῦ ἀγαθοῦ, καὶ ἐπιμελοῦς κυρίου μεστοὶ οἱ οἰνῶνες, καὶ ἐλαιῶνες, καὶ μελιτῶνες, καὶ ὀψῶνες, καὶ κτηματικὴ πᾶσα ἡ κώμη εὐπορεῖ δέλφακος, ἀμνοῦ, ἐρίφου, ἀλεκτορίδος, γάλακτος, τυροῦ, μέλιτος. ἤδη δὲ καὶ τὸν κῆπον αὐτοὶ γεωργοὶ ταριχείαν ἑτέραν ἀποκαλοῦσιν. ἡδίω δ᾽ ἄρα ταῦτα ἀποδεικνύει καὶ ἡ, ὡς ἐν παρέργῳ, ὀρνιθοθήρα, καὶ κυνηγία. τί δὲ τοῦ τῶν λειμώνων εὐχλώρου, καὶ εὐανθοῦς πέρι, ἢ τῆς τῶν δένδρων εὐτάκτου, ἢ τῆς τῶν ἀμπελώνων τε, καὶ ἐλαιώνων εὐειδοῦς πλείω εἴπω; συνελὼν δὴ ἐς βραχὺ ἐρῶ. ὅτι ἀγροῦ εὖ, καὶ καλῶς γεγεωργημένου οὐδὲν ἂν γένοιτο οὔτε ἀφθονώτερον χρήσασθαι, οὔτε μὴν εὐειδέστερον θεάσασθαι. ὧν δὴ οὐχ ὅπως τὸ γῆρας βραδυτέρους, ἢ ὡς ἐπ᾽ ἀπόλαυσιν, ἀπεργάζεται, ἀλλὰ καὶ διεγείρει, καὶ θέλγων προσάγεται. ποῦ γὰρ ἂν ἡ ἡλικία δύναιτ᾽ ἐκείνη, ἤτοι ἡλίῳ, καὶ πυρκαϊᾷ θερμαίνεσθαι βέλτιον; ἢ σκιαῖς ἐν μέρει, καὶ ὕδασι καταψύχεσθαι σωτηριωδέστερον; οὐκοῦν σφίσιν ἵπποις, σφίσιν ὅπλα, σφίσιν ἀκόντια, σφίσι ῥόπαλον, καὶ σφαῖραν, σφίσι νήξεις, καὶ δρόμοις ἐχόντων οἱ νέοι. ἡμῖν δὲ τοῖς γέρουσιν ἐκ παιγνίων πολλῶν πεττούς τε, καὶ ἀστραγάλοις καταλειπόντων. καὶ τοῦτ᾽ αὐτὸ μήποτε οὐκ ᾖ πρὸς θυμοῦ, ἐπειδὴ καὶ τούτων ἄνευ ἐθέλει τὸ γῆρας εἶναι μακάριον. ἐν πολλοῖς γε μὴν τὰ Ξενοφῶντος βιβλία τυγχάνει χρήσιμα ὄντα, ἃ δὴ καὶ σπουδαίως ἀναγινώσκειν ὑμᾶς ἀξιῶ, καθάπερ δὴ καὶ ποιεῖτε. ὅσον οὖν φιλοτίμως πρὸς αὐτοῦ γεωργία ὑμνεῖται, ἐν τῷ περὶ ἐπιμελείας τῆς

τοιγαροῦν ἐν τῷ τοιῷδε βίῳ μάρκος κούριος, ἐπειδὴ ἀπὸ σαυνιτῶν, καὶ σαβίνων, καὶ πύρρου νικητήρια ἔπεμψεν, τὸν τελευταῖον τῆς ἡλικίας χρόνον δὴ κατεβίω. οὗ τὴν ἔπαυλιν ἐγὼ θεωρῶν, ἀπέχει γὰρ ἀπ' ἐμοῦ οὐ πολύ, θαυμάζειν ἀποχρώντως οὐκ ἔχω οὔτε τὸ ἐγκρατὲς τοῦ ἀνδρός, οὔτε τὸ ἀπὸ τῶν χρόνων πολυμαθές. κουρίῳ δὲ τούτῳ πρὸς ἐσχάρᾳ καθεζομένῳ, σαυνῖται σταθμὸν χρυσοῦ μέγαν προσενεγκόντες, οὐδεμιᾶς ἔτυχον ἐπιστροφῆς. οὐ γὰρ τὸ χρυσίον ἔχειν, λαμπρὸν οἱ ἔφη δοκεῖν, ἀλλὰ τὸ κρατεῖν τῶν ἐχόντων χρυσίον. ἆρ' οὖν οὐ δύναται ψυχὴν τηλικαύτην, μὴ οὐ γῆρας ἡδὺ ἀπεργάζεσθαι. ἀλλὰ μέτειμι πάλιν πρὸς τοὺς γεωργικούς, ἵνα μὴ αὐτὸς ἀπ' ἐμαυτοῦ δοκέω ἀποχωρεῖν. ἐν ἀγροῖς ἦσαν τὸ τότε ἄνδρες τῶν ἐκ τῆς γερουσίας γέροντες, καθάπερ εἰκός, εἴ γ' ἀροῦντι λευκίῳ κοιντίῳ κιγκιννάτῳ ἀπηγγέλθη, ὅτι δικτάτωρ αὐτὸς αἱρεθείη. οὗ δικτατορεύοντος ἐπιτάξει, γάϊος σερβίλιος ἄλας ἄρχων τῶν ἱππέων σπόριον μέλιον βασιλείαν οἱ κατασκευαζόμενον φωραθέντα, ἀπέκτεινεν. ἐξ ἐπαύλεως μεταπεμπτοὶ τῷ βουλευτηρίῳ παρῆσαν καὶ οἱ περὶ κούριον, καὶ ἕτεροι γέροντες. ὅθεν δὴ καὶ κλήτορες οἱ καλοῦντες αὐτοὺς ὠνομάσθησαν. μὴ οὖν τὸ γῆρας τούτων ἐλεεινὸν ἦν, οἳ σφᾶς αὐτοὺς γεωργίᾳ τέρποντες διετέλουν; οὐ, κατάγε γνώμην ἐμήν, οὐκ οἶδα, εἴ τις βίος εἴη τούτου μακαριώτερος. οὐ μόνον ἐπιτηδεύσει, ᾧ τὴν ἀγρῶν ἐργασίαν παντὶ τῷ ἀνθρωπίνῳ γένει σωτήριον πεφυκέναι, ἀλλὰ καί, ἣν ἔφην, εὐφροσύνῃ, καὶ πληρώσει, καὶ εὐπορίᾳ πάντων, ὅσα τείνει εἴς τε ἀνθρώπων

οὔτε θερμοῦ συμμετρίας ἀμοιρεῖ; καὶ τὸν τοῦ ἡλίου ἰσχυρὸν καύσωνα διαφεύγει. καὶ τί ποτ' ἂν ἢ εὐκαρπίας τῶνδε, ἁβρότερον, ἢ εὐμορφίας περικαλλέστερον γένοιτο; τοῦ δ' οὐ τὸ ὄφελος μόνον, ὡς πρότερον ἔφην, ἀλλὰ καὶ ἡ θεραπεία, καὶ ἡ φύσις αὐτή με εὐφραίνει. χαράκων συστοιχία κορυφῶν, συζυγία, ἀνάδεσις, καὶ κατάθεσις ἀμπέλων, καὶ κλημάτων τῶν μὲν, ὡς εἴρηται, περιαίρεσις, τῶν δὲ πρόσθεσις, τί δ' ἀρδείας, τί δὲ σκαπάνας, καὶ νεώσεις, καὶ γυρείας, καὶ βωλοστροφίας ἀγρῶν ἀπαγγέλλω; οἷς ἡ γῆ πολὺ γονιμωτέρα καθίσταται. τί δὲ κόπρου ὠφελείας πέρι, διδάσκω; γέγραφα, ἐν οἷς τὰ περὶ τοὺς ἀγροὺς συντεταγμένος εἰμί. ἧς πέρι ἡσίοδος ὁ σοφὸς οὐδένα πεποίηται λόγον γράφων περὶ ἐργασίας ἀγρῶν. ἀλλὰ μὴν ὅμηρος, ὃς ἐμοὶ δοκεῖ, πολλοῖς πρόσθεν ἦν ἔτεσιν, λαέρτην ὑπολεαίνοντά τι τὸν πέθον, ᾧ κατείχετο ποθῶν τὸν υἱὸν, ἀγρὸν ἐργαζόμενον, καὶ παρέχοντα κόπρον ποιεῖ. οὐδὲ δὴ ληΐοις μόνον, καὶ λειμῶσι, καὶ ἀμπελῶσι, καὶ δενδρῶσιν ἡδέως ἔχει τὰ τῶν ἀγροίκων, ἀλλὰ καὶ κήποις, καὶ παραδείσοις, καὶ τὸ μὲν βοσκημάτων νομαῖς, τὸ δὲ σμήνεσι μελισσῶν, καὶ ποικιλίᾳ παντοδαπῶν ἀνθέων, οὐ δ' αὖ μόνον φυτείαις ἐνασμενιζόμεν, ἀλλ' ἔτι καὶ ἐμφυτείαις. ὧν οὐδὲν εὕρετο γεωργία φιλοτεχνότερον. πόλλ' ἔτι τῶν κατ' ἀγροίκους ἀπολαύσματα ἔχω διεξελθεῖν. ἀλλ', ἅπερ εἴρηκα, ταῦτα μακρότερα αἰσθάνομαι εἰρηκώς. σύγγνωτε δέ. σπουδῇ τε γὰρ προῆγμαι τῶν ἀμφὶ τοὺς ἀγροὺς, καὶ ἅμα τὸ γῆρας φύσει λαλίστερον. ἵνα μὴ πάσης κακίας αὐτὸ φαίνωμαι ἀπαλλάττων.

θήκαις, ὥσπερ ἡβῶσαί τε, καὶ ἰουλοφύουσαι περικλείεται.
τούτων δ' ἀναδῦσα, ἀποχεῖ τὸν καρπὸν στάχυος εὐτα-
ξίᾳ συντεταγμένον, καὶ πρὸς τὰ τῶν ἐλασσόνων ὀρνί-
θων δήγματα, ἀθέρων σταυροῖς ὀχυρῶς κεχαρακωμένον.
τί δ' ἀμπέλων περὶ γενέσεως, καὶ φυτεύσεως, καὶ αὐ-
ξήσεως ἀναμιμνήσκω; κόρον τε εὐφροσύνης τῷ ὄντι
λαβεῖν οἷός τ' εἰμί. ἵνα τὴν τοῦ ἐμοῦ γήρως ἀνάπαυ-
λάν γε, καὶ ἡδυπάθειαν ἀδεῖτε. παρίημι γὰρ τὴν δύνα-
μιν αὐτῶν πάντων τῶν ἐκ τῆς γῆς φυομένων, ἥτις ἐκ τη-
λικαύτης κεγχραμίδος, ἢ γιγάρτου, ἢ ἑτέρων καρ-
πῶν, ἢ ῥιζοφυτῶν τινῶν ἐλαχίστων σπερμάτων τηλι-
καῦτα στελέχη, καὶ κλάδους δημιουργεῖ. μοσχεύμα-
τα δὲ φυτευτήρια, καὶ ὦχαι, καὶ ὑπόρριζοι, καὶ ἀπόρ-
ρυγες, ταῦτα πάντα οὐχ οὕτω πως διατίθησιν; ὡς μὴ
ἄσματος ἂν εὖ τέρπεσθαι μὴ δὲ ὁντιναοῦν; ἄμπε-
λος δὲ δὴ φύσει εὐκατάπτωτος οὖσα, καὶ εἰ μὴ ἀπερει-
δομένη που τύχοι, ῥαδίως ἐπὶ τὴν γῆν καταφερο-
μένη, ἤδη, ὅπως ἑαυτὴν ἀνορθοῖ, συμφύτοις ἕλιξιν, οἷον
χερσὶν, ὅπου ἂν λάβηται, περιπτύσσεται. εἶτ' ἀφέρ-
πουσα ὀλίσθῳ πολυσχιδεῖ τε, καὶ πλάνητι, σιδήρῳ τέχ-
νης γεωργῶν περιαιρουμένη κατίσχεται, μὴ κληματί-
σιν ὑλομανῇ, καὶ πανταχόσε διαχέηται πλείστη. ἔα-
ρος δ' ὑποφαίνοντος, ἐν τοῖς καταλοίποις ὄζοις, ὥσ-
περ ὑπὸ μέτωπα τῶν κλημάτων ἀνέῳγεν ὁ καλού-
μενος ὀφθαλμὸς, ὅθεν ὁ βότρυς ἑαυτὸν δεικνύει ἀνίσ-
χων. ὅδ' αὖ γῆς εὐφορίᾳ, καὶ θάλπει ἡλίου αὐξόμενος
πρῶτα μὲν στρυφνότατός ἐστι γεύσασθαι. ἔπειτα δὲ
γλυκαίνεται πεπαινόμενος, οἰναρά τε περικείμενος

ὄντας τοιούτων ἐν γήρᾳ εἴδομεν. μάρκον δὲ κέθηγον, ὃν ἔννιος μελίγηρυν ὀρθότατα ὀνομάζει. ὅσῃ σπουδῇ γυμναζόμενον εἰς τὸ λέγειν, ἑωρῶμεν καὶ γέροντα. τίνας οὖν εὐωχιῶν, ἢ ἀγώνων, ἢ παιδικῶν ἡδονὰς ἄξιον ταῖς ἡδοναῖς ταυταισὶ παραβάλλειν; καὶ αὗται μὲν δὴ σπουδαὶ μαθημάτων εἰσὶν, αἳ δὴ τοῖς συνετοῖς τῶν ἀνδρῶν, καὶ πεπαιδευμένοις εὖ κατὰ ταυτὰ τῷ βίῳ συναύξονται. οἷόν τι κἀκεῖνο, τῷ σόλωνι εὐχημονολογούμενον, ὅσπερ ἐμμέτρως φησὶν, ὡς πρότερον εἶπον, γηράσκειν αἰεὶ πολλὰ διδασκόμενον. ἧς δὴ περὶ ψυχὴν ἡδονῆς οὐδ᾿ ἂν μία, ὡς ἀληθῶς, μείζων εἴη. νῦν δὲ πρὸς τὰς τῶν γεωργῶν ἔρχομαι ἡδονὰς, αἷς ὑπερφυῶς ἥδομαι ἔγωγε. αἳ δὴ οὔτε τι διακωλύονται γήρᾳ, καί μοι πρὸς βίον σοφοῦ ἐγγυτάτω παραγινόμεναι φαίνονται. ἔχουσι γάρ τοι λόγον πρὸς γῆν, ἥγε τὸ κελευόμενον οὐδέποτ᾿ ἀναίνεται. οὐδ᾿ ἔστιν, ὅτε χωρὶς τόκου ἀποδίδωσι τὸ ληφθὲν, ἀλλ᾿ ὅτε μὲν σὺν ἐπικαρπίᾳ ἐλάσσονι, ὡς τὰ πολλὰ δὲ σὺν μείζονι ἀμείβεται. καίτοι ἐμέ γε οὐχ ὁ καρπὸς μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ τῆς γῆς δύναμίς τε, καὶ φύσις εὐφραίνει. ἥτις εἰς κόλπον μεμαλαγμένον τε, καὶ διειργασμένον τὸ σκεδασθὲν σπέρμα ὑποδεξαμένη, πρῶτον μὲν βωλοκοπηθὲν συνίσχει πέσασα, ὅθεν δὴ καὶ βωλοκοπία ἡ τόδε ἀπεργαζομένη καλεῖται, ἔπειτα δὲ νοτίδι τε, καὶ πιλώσει διαχεῖ θερμαινόμενον, καὶ χλωρὰν ἀπ᾿ αὐτοῦ ἐφέλκεται πόαν. ἣ δὴ ῥιζίοις προσρυεῖσά τε, καὶ παγεῖσα λεληθότως αὐξανομένη μειρακιοῦται, καὶ καλάμῃ εὐγονάτῳ ἀνατεθεῖσα, λέμμασιν ἤδη, καὶ

ρας, κἂν πρὸς ἀφθονίαν μὴ ἐμφορῆται, ἐνδεὲς οὐκ ἔ-
στι παντάπασιν. ὡς γὰρ ᾠδῇ τυρπίωνι ἀμοιβίῳ ἥδεται
μέντοι μᾶλλον ὁ ἀπὸ τοῦ πρώτου θεωρητηρίου θεώμενος,
ἥδεται δὲ αὖ καὶ ὁ ἀπὸ τοῦ τελευταίου, ὡς καὶ νεότης
ταῖς ἡδοναῖς ἐγγύθεν προσβάλλουσα μᾶλλον ἥδεται ἴ-
σως, ἥδεται δὲ γε μὴν καὶ τὸ γῆρας θεώμενον αὐτὰς πόρρω-
θεν, ὅσον ἱκανῶς ἔχοι. ἀλλὰ μὴν ἐκεῖνό γε ἡλίκον; τὸ
τὴν ψυχήν, ὥσπερ μισθοφορεῖν πεπαυμένην, ἀκολα-
σία, φιλοτιμία, φιλονεικία, ἔχθρα, πάσαις ἐπιθυμί-
αις, καθ' ἑαυτὴν εἶναι, καὶ μεθ' ἑαυτῆς, τὸ λεγόμενον, ζῆν; ἐὰν
δὲ δή τι καὶ σπουδῆς, καὶ μαθήσεως οἷόν τινα χιλὸν ἔ-
χῃ, οὐδέν, ὡς ἀληθῶς, γήρως σχολὴν ἄγοντος ἥδιον. μό-
νον οὐκ ἐναποπνέοντα σπουδῇ τῇ περὶ τὸν οὐρανόν, καὶ
τὴν γῆν ἀναμετρήσεων γάϊον ἑωρῶμεν τὸν οἰκεῖον τὸν
σοῦ πατρὸς ὦ σκιπίων. ὁσάκις μὲν ἐκεῖνον ἡ ἕως, ἐγχει-
ρήσαντα νυκτὸς διαγράφειν ἄπῃ ἐπέσχεν; ὁσάκις δ' αὖ
ἡ νὺξ ἀρξάμενον ἕωθεν; ὅσον αὐτὸν εὔφραινε τὸ τὰς ἡ-
λίου, καὶ σελήνης ἐκλείψεις πολὺ πρόσθεν προλέγειν ἡ-
μῖν; τί δ' ἐν ἐλαφροτέραις μὲν, ὀξείαις δὲ καὶ ταῖς δὲ
σπουδαῖς; ὅσον μὲν ναίνιος ἔχαιρε τῷ ἑαυτοῦ λυβικῷ πο-
λέμῳ; ὅσον δὲ πλαῦτος τῷ φυκυλέντῳ, ὅσον τῷ ψουδο-
δούλῳ. εἶδον ἔτι καὶ λίβιον γέροντα, ὃς ἑπτὰ ἔτεσι πρὸ
γενέσεως τῆς ἐμῆς ῥαγῳδίαν διδάξας, προβέβηκε
ζῶν ἄχρι ἐμῆς ἐφηβίας. τί δ' ἄρα ὑπὲρ τοῦ ποπλίου λι-
κινίου κράσσου σπουδῆς, περί τε τῆς ἀρχιερωσύνης, καὶ τὸ
πολιτικὸν νόμιμον λέγω; ἢ τοῦ αὐτοῦ ποπλίου σκιπίωνος;
ὃς ὀλίγων ἡμερῶν τῶν δὲ μέγιστος ἀπεδείχθη ἀρχιερεύς.
καὶ γὰρ ἅπαντας, οὓς ἀνέμνησα, τούτοις σπουδῶν πνέ-

λὴν, ὅ μοι τὴν μὲν τῶν λόγων ἐπιθυμίαν ηὔξησεν, τὴν
δὲ τῆς βρώσεως, καὶ πόσεως ἀπεμάρανεν. ὥστ', εἴ τινας
καὶ ταῦτα εὐφραίνει, ὡς ἂν μὴ παντάπασι δόξω πό-
λεμον καταγγείλας τῇ ἡδονῇ, ἧς ἔνεστιν ἴσως μέτρον
τι κατὰ φύσιν. οὐδ' ἐν αἰσθήσει δὴ ταῖς ἡδοναῖς ταύ-
ταις, αἰσθήσεως τὸ γῆρας δεῖσθαι ὁρῶ. ἐμὲ γάρ τοι
καὶ συμποσιαρχίαι εὐφραίνουσι πρὸς τῶν προγόνων
συντεταγμέναι, καὶ λόγος, ὃς παρὰ συμποσιάρχου τοῦ
μεγίστου εἰς τὸν κώθωνα ἔθει προγόνων παράγεται, καὶ
κυλίκεια, ὡς ἐν τῷ ξενοφῶντος συμποσίῳ, σμικρὰ, καὶ
ἐπιψεκάζουσαι, ψύχος τε ἀκμῇ θέρους, καὶ αὖ ἐν μέ-
ρει, ἥλιος, ἢ πῦρ, ὥρᾳ χειμερινῇ. ἃ δὴ κἀν σαβίνῃ με-
τιέναι εἴωθ' ἐγώ. συμπόσιόν τε ἀγρογειτόνων συγκρο-
τῶ καθ' ἑκάστην, καὶ τοῦτο πόρρω νυκτῶν, ᾗ μάλιστα
δυνατὸν, λόγοις συμπαρατείνομεν διαφόροις. ἀλλ'
οὐκ ἔστιν ἡδονῶν τοσοῦτος, οἷον γάργαλος ἐν τοῖς γέρου-
σιν. πείθομαι. ἀλλὰ μὴν οὐδὲ πόθησίς γε. χαλεπὸν δὲ
οὐδὲν, ὧν ἂν μὴ ποθῇς. εὖ οὖν καὶ σοφοκλῆς, ἐρομένου
του αὐτὸν ἡλικίαν ἤδη κατειργασμένον, εἰ ἔτι χρῷτο
ἀφροδισίοις, εὐφήμει, εἶπεν. ἐγὼ γὰρ ἀσμένως αὐτὸ, ὥς-
περ τινὰ λυττῶντα, καὶ ἄγριον δεσπότην ἀπέφυγον.
τοῖς μὲν γὰρ ἐρωτικῶς ἔχουσι τῶν τοιούτων, μισητὸν
ἴσως τὸ δεῖσθαι, καὶ χαλεπόν. διακόροις δὲ, καὶ κα-
τάπλεως τοῦ ἀπολαύειν τὸ δεῖσθαι ἥδιον. καίτοι γε οὐ
δὲ δεῖται, ὅς ἂν μὴ ποθῇ. τοιγαροῦν τὸ μὴ ποθεῖν τοῦτο,
ἥδιον φημὶ εἶναι. ὥστ', εἰ τούτων αὐτῇ ἀπολαύει τῶν
ἡδονῶν ἥδιον, ἡ χρηστὴ ἡλικία, πρῶτον μὲν σμικρῶν τι-
νῶν, ὡς ἔφαμεν, ἀπολαύει. ἔπειτα δὲ, ὧν καὶ τὸ γῆ-

πλάτων δαιμονίως κακῶν δέλεαρ τὴν ἡδονὴν ὀνομάζει, ἐκ τοῦ, ταύτῃ δηλονότι ἀνθρώπους ἁλίσκεσθαι, ὥσπερ ἰχθύας ἀγκίστρῳ. κἂν εἰ εὐωχιῶν ἀσυμμέτρων ἐνδεῶς ἔχοι τὸ γῆρας, δύναταί γε μετρίοις ἥδεσθαι συμποσίοις. γάϊον οὖν δουΐλλιον τὸν μάρκου, ὃς δὴ στόλῳ πρῶτος λιβύων ἐκράτησε, πολλάκις παῖς ὢν γέροντα ἑώρων οἴκαδε ἀναλύοντα μετὰ δεῖπνον. ἥδετο γὰρ θαμινὰ λαμπάσι τε, καὶ αὐλῷ. ἃ πρὸς οὐδὲν παράδειγμα ἰδιώτης ὢν ἑαυτῷ προσειλήφει. τοσοῦτον δὲ αὐτὸν ἐξουσίας παρεῖχεν ἡ εὔκλεια, ἀλλὰ τί τὰ παρὰ τῶν ἄλλων ἐγώ; πρὸς ἐμαυτὸν δὴ ἐπανήξω. πρῶτα μὲν γὰρ συσσίτους εἶχον ἀεί. συσσίτια δὲ ταμίου ὄντος ἐμοῦ ἀναδέδεικται τῶν ἰδαίων παραλαμβανομένων τελετῶν τῆς μεγάλης μητρός. εὐωχούμην οὖν μετὰ συσσίτων πάνυ μετρίως. ἀλλ' ἦν, ὡς ἔοικε, ζέσις τις ἡλικίας, ἧς προϊούσης, πάντα πρᾳότερα τῷ χρόνῳ καθίσταται. οὐδὲ γὰρ τὴν τῶν συμποσίων αὐτῶν εὐφροσύνην ἡδοναῖς ταῖς περὶ τὸ σῶμα πλέον, ἢ τῷ χορῷ τῶν φίλων, καὶ τοῖς λόγοις ἐμέτρουν. καλῶς γὰρ οἱ ἡμέτεροι πρόγονοι τὴν περὶ τὰς εὐωχίας τῶν φίλων κατάκλισιν, ὅτιπερ σύνδεσμον εἶχε βίου, συμβίωσιν ἀπεκάλεσαν. καὶ ἄμεινον, ἤπερ ἕλληνες, οἳ τὸ αὐτὸ τοῦτο ὁτὲ μὲν συμπόσιον, ὁτὲ δὲ σύνδειπνον ὀνομάζουσι, ὥσθ', ὅπερ ἐνταῦθα ἐλάχιστον, τοῦτο μάλιστα φαίνεσθαι ἀποδεχομένοις. ἐγὼ διὰ τὴν ἀπὸ τῶν λόγων εὐθυμίαν, καὶ συμποσίοις εὐκαίροις ἐνασμενίζω, καὶ οὐ μόνον μεθ' ἡλικιωτῶν ἐμαυτοῦ, ἀλλὰ καὶ μετὰ τῶν ἐν ἡλικίᾳ τῇ ὑμετέρᾳ, καὶ μεθ' ὑμῶν αὐτῶν. χάριν τε ἔχω τῷ γήρᾳ πολ-

ἀσελγὴς οὕτω, καὶ ἐξώλης ἐρωτοληψία, ἢ ἰδιωτικῷ ὀνείδει, ἀδοξίαν τῆς ὅλης ἀνῆπτε ἡγεμονίας. πολλάκις δὲ τῶν πρεσβυτέρων ἐπυθόμην λεγόντων, σφᾶς νέους κομιδῇ ὄντας ἀκοῦσαι τῶν γεραιτέρων, ὡς γάϊος φαβρίκιος εἰωθὼς εἴη θαυμάζειν, ὅτι πρεσβύτης ὢν παρὰ πύρρῳ τῷ βασιλεῖ πύθοιτο κινέου τοῦ θεσσαλοῦ, ὡς ἀθήνησιν εἴη τὶς σοφὸς προσποιούμενος εἶναι, φάσκων πάνθ᾽, ὅσαπερ ἂν ποιῶμαι, χρῆναι ὡς ἡδονὴν ἀναφέρειν. ὅπερ ἀκούοντας αὐτοῦ μάρκιον κούριον, καὶ τίτον κορουγκάνιον ἐπεύχεσθαι εἰωθέναι, σαυνίτας τε, καὶ πύρρον αὐτὸν ταῦτα πεισθῆναι, ὅπως, οἷοι ῥᾷον ἡττᾶσθαι, γένοιντο σφᾶς αὐτῇ ἡδοναῖς ἐνδεδωκότες. βεβίωκε δ᾽ ἄρα μάρκιος κούριος κατὰ πόπλιον δέκιον τὸν πενταετίᾳ πρὸ τῆς ὑπατείας αὐτοῦ κουρίου, ὃς ἑκούσιον σφαγὴν ὑπὲρ τῆς πολιτείας ἑαυτὸν δεδωκότα. ᾔδει δὲ τὸν αὐτὸν τοῦτον καὶ φαβρίκιος. ᾔδει δὲ κορουγκάνιος. οἳ δὴ τὸ μὲν ἐκ τοῦ καθ᾽ ἑαυτοὺς βίου, τὸ δ᾽ ἐκ τῆς πράξεως, οὗ λέγω, ποπλίου δεκίου, ἐκεῖνα εἶναί τι φύσει κάλλιστον, καὶ λαμπρότατον, ὅπερ ἂν ἐθελουσίως μαστεύοιτο, καὶ ᾧ γ᾽ ἂν ὑπερορωμένης τε, καὶ καταφρονουμένης τῆς ἡδονῆς, τῶν βελτίστων ἕκαστος ἕποιτο. τί δὲ ταῦθ᾽ οὕτω συχνὰ περὶ ἡδονῆς; ὅτι οὐχ ὅσον ψόγος οὐδεὶς, ἀλλὰ καὶ μέγιστος ἔπαινος γήρως, τὸ μὴ πάνυ τι ποθεῖν τῶν τοιούτων ἡδονῶν μηδεμίαν. ἀπορεῖ φησὶν εὐωχιῶν, καὶ τραπεζῶν εὐπρεπῶν, καὶ κυλίκων συχνῶν. οὐκοῦν καὶ οἰνοφλυγίας, καὶ ἀπεψίας, καὶ ἀγρυπνίας ἀπορεῖ. ἀλλ᾽ ἄρα τι καὶ δοτέον τῇ ἡδονῇ, ἐπειδὴ τοῖς θωπεύμασιν αὐτῆς οὐκ εὐμαρῶς ἐνιστάμεθα, καὶ

εἴη. διὸ καὶ μηδὲν οὕτω βδελυρὸν, μηδὲ οὕτω θανατηφόρον εἶναι, ὡς ἡδονήν. εἴγε αὕτη μείζων τε οὖσα, καὶ χρονιωτέρα πᾶν τὸ φῶς τῆς ψυχῆς ἀποσβέννυσι. ταῦτα μετὰ γαΐου ποντίου τοῦ πατρὸς, ἐφ' οὗ τῷ καυδίνῳ πολέμῳ σπόριος ποστούμιος, καὶ τίτος βετούριος ὑπατευόντοιν ἥττηντο, διαλεχθῆναι τὸν ἀρχύταν, νέαρχος ταραντῖνος ξένος ἡμέτερος, ὃς ἀεὶ φίλος τῷ δήμῳ τῶν ῥωμαίων διέμεινε, παρὰ τῶν πρεσβυτέρων ἔλεγεν εἰληφέναι. ἡνίκα δὴ τῷ λόγῳ τούτῳ παρεγένετο καὶ πλάτων ὁ ἀθηναῖος. ὃν ἐς ταράντα ἀφικέσθαι λευκίου αἰμυλίου, καὶ ἀππίου κλαυδίου ὑπατευόντων εὑρίσκω. τοῦ δ' ἕνεκα ταῦτα. ἵν' εἰδῆτε, ὡς εἰ μὴ παρ' οὐδὲν τίθεσθαι τὴν ἡδονὴν λόγῳ τε δυνάμεθα, καὶ σοφίᾳ, χάριν πολλὴν ἄξιον ἔχειν τῷ γήρᾳ, ὡς μὴ προσφιλῆ τὰ μὴ δέοντ' ἀπεργαζομένῳ. εὐβουλίᾳ γὰρ ἐμποδὼν γίνεται ἡδονή, λόγῳ τε πολεμία ἐστί. καὶ τὰ τοῦ νοῦ, ὡς ἔπος εἰπεῖν, καταστρεβλοῖ ὄμματα. οὐδέ τι πρὸς ἀρετὴν συνάλλαγμα ἔχει. ἐγὼ δὲ ἄκων μὲν διεπραξάμην ἐκβαλεῖν τῆς συγκλήτου λεύκιον φλαμίνιον, ἀδελφὸν τίτου φλαμινίου γενναιοτάτου ἀνδρὸς, ἑπτὰ μάλιστα ἔτεσι μετὰ τὴν αὐτοῦ ὑπατείαν. χρῆναι μέντοι πάθος ἀκόλαστον ἀτιμάσαι, ᾠήθην. ἐκεῖνος γὰρ ὕπατος ὢν ἐν γαλατίᾳ, παρακέκλητο πρὸς τοῦ ἐρωμένου ἐν συμποσίῳ διαπελεκίσαι τινὰ τῶν ἐν δεσμοῖς κατακειμένων ἐπὶ θανάτῳ. καὶ τότε μὲν δὴ ἐξώλισθε τιμητοῦ ὄντος τοῦ ἀδελφοῦ, ἐγγυτάτω πρὸ ἐμοῦ αἱρεθέντος. ἐμοὶ δὲ, καὶ φλάκκῳ οὐδεπώποτ' ἐγένετο δυνατὴ ἀποδέξασθαι

το στέρεσθαι ἡδονῶν. ὢ τοίνυν λαμπροτάτου ἡμῖν ἡλικίας δώρου. εἴγε τοῦθ' ἡμῶν ἀφαιρεῖται, ὅπερ τῶν φαυλοτάτων ἐστὶν ἐν νεότητι. λάβετε γὰρ ὦ βέλτιστοι νέοι λόγον ἀρχαῖον ἀνδρὸς τῶν μεγάλων τε, καὶ ἐπιφανῶν εἰς τὰ πρῶτα, ἀρχύτου ταραντίνου. ὅς μοι ἐγκεχείρισται νεανίσκῳ ἐν τάραντι διατρίβοντι ἅμα κοΐντῳ μαξίμῳ. οὐδένα γάρ τοι λοιμὸν ἔφασκεν ἀνθρώποις δεδόσθαι ὑπὸ τῆς φύσεως ὀλεθριώτερον, ἡδονῆς τῆς διὰ τοῦ σώματος. ἧς ἂν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν, καὶ ἀλόγιστον ἐμφορηθῆναι ἰταμῶς τε, καὶ δυσηνίως ὀργῶν τε, καὶ κατερεθίζοιτο. ἐντεῦθεν προδοσίας πατρίδων, ἐντεῦθεν πολιτειῶν ἀνατροπὰς, ἐντεῦθεν λαθραίας πρὸς πολεμίους ἀναφύεσθαι συνουσίας, ἁπλῶς τε μηδὲν ἄγος, μηδέ τινα κακουργίαν εἶναι, ἣν τιν' οὐκ ἂν ἡ τῆς ἡδονῆς ἐπιθυμία προσδέξασθαι συνωθήσειεν. διακορήσεις δὲ, καὶ μοιχείας, καὶ σύμπασαν ὕβριν τοιαύτην, μὴ ἂν ἄλλαις ἴυγξιν, ἀλλ' ἢ ἡδοναῖς παροξύνεσθαι. ἀνθρώπῳ δὲ δὴ μηδὲν ἐξοχώτερον νοῦ, εἴτ' ἐκ φύσεως, εἴτ' ἔκ του θεῶν δοθέντος. τούτῳ δὲ τῷ θείῳ δώρῳ τε, καὶ χαρίσματι μηδὲν οὕτως ἐναντίον εἶναι, ὡς ἡδονήν. μὴ γὰρ ἂν ἀκολασίας κρατούσης σωφροσύνῃ χώραν ὑπάρχειν. μήθ' ὅλως ἐν ἡδονῆς βασιλείᾳ δύνασθαι ἀρετὴν συστῆναι. ὃ δὴ ἵνα καὶ μᾶλλον εἴη μαθεῖν, πλάττειν ἐκέλευε τῇ διανοίᾳ, κατηρεθισμένον τινὰ σώματος ἡδονῇ τοσαύτῃ, ὁπόσην ἂν δύνηται πλείστην χωρῆσαι. οὐδενὶ γὰρ ἀμφίδοξον ᾤετ' ἂν εἶναι, ὡς μὴ ἐν ᾧ σφόδρα γέγηθεν, οὕτω χρονίως μηδὲν διαπεράσεσθαι νῷ, μηδενὸς λόγῳ, μηδενὸς λογισμῷ ἐπιτυγχάνειν ἱκανὸς

γὰρ εὐσχημόνως ἔχει τὸ γῆρας, εἰ αὐτὸ προστατεῖ ἑαυτοῦ, εἰ τῶν οἰκείων δικαίων ἀντέχεται, εἰ μηδενὶ ἦν ἀνδραποδίζεται, εἰ εἰς ἐσχάτην ἀναπνοὴν κύριον τῶν σφετέρων διατελεῖ. ὡς γὰρ νεανίσκον, ἐν ᾧ τι πρεσβυτικόν ἐστιν, ὡς καὶ γέροντα, ἐν ᾧ τι νεανικὸν, ἐπαινῶ. ὃ δὴ μιμῶν τις σώματι μὲν γέρων ἂν εἴη, ψυχῇ δὲ οὔ μήποτε ᾖ. ἀτὰρ οὖν ἐμοὶ μετὰ χεῖρας βιβλίον ἕβδομον ἀρχαιολογίας, τὰ τῶν παλαιῶν πάντα ὑπομνήματα συλλέγω, τῶν ἤδη φανερωτέρων δικῶν, ὧν ποτε συνηγόρησα, τοὺς λόγους νῦν μάλιστα ἤδη τελῶ, νόμιμα οἰωνιστῶν, καὶ ἀρχιερέων, καὶ πολιτῶν δικῶν συντάττομαι, πυθαγορείων ἔθει, τῆς περὶ τὴν μνήμην ἀσκήσεως χάριν, ἅπερ ἂν ἡμέραν ἑκάστην ἢ εἴπω, ἢ ἀκούσω, ἢ πράξω, ἑσπέρας ἀναπολῶ. ταῦτά ἐστιν ἀσκήματα ἀγχινοίας, ταῦτα στάδια νοῦ, ἐν τούτοις ἱδρῶν ἐγὼ, καὶ διαπονούμενος, οὐ πάνυ τι ἐπιποθῶ τὴν περὶ τὸ σῶμα ἰσχύν. παρίσταμαι φίλοις, ἔρχομαι εἰς τὴν βουλὴν συνεχῶς, πράγματα εἰσφέρω ἑκὼν εἶναι, πολύ τι, καὶ διὰ πολλοῦ μεμελετημένα. ψυχῆς τε ἰσχύι, οὐ σώματος ταῦτα διαφυλάσσω. ὧν εἰ καὶ ἔργῳ ἐφικνεῖσθαι μὴ οἷός τε ὦ, ἀλλά μου τό γε κλινάριον εὔφραινεν ἄν με αὐτὰ διαλογιζόμενον ταῦτα, ἃ πράσσειν μὲν δύνασθαι οὐκ εἰκὸς, δύνασθαι δέ με πεποίηκεν ὁ παρεληλυθὼς οὕτω βίος. ἀεὶ γὰρ τῷ περὶ πόνοις τοιούτοις, καὶ σπουδαῖς βιωτεύοντι, οὐκ ἔστιν ἰδεῖν, ὁπότε ὑπέλθοι τὸ γῆρας. οὕτως ἠρέμα, καὶ ἀνεπαισθήτως ἡ ἡλικία γηράσκει. οὐδέ τι ἐξαίφνης κατάγνυται, ἀλλὰ χρονίως ἀποσβέννυται. ἑπόμενον δὴ τῶν ἀριθμῶν ἡ τρίτη βλασφημία τοῦ γήρως, ἥν φασιν αὐ-

γε ἀποφυγεῖν ἔχουσιν; ἀντιστατέον γε μὴν ὦ Σκιπίων, καὶ Λαίλιε τῷ γήρᾳ, καὶ κολαστέον πρὸς ἀκρίβειαν τὰς αὐτοῦ κακίας. ὡς γὰρ πρός τινα νόσον, οὕτω καὶ πρὸς τὸ γῆρας πολεμητέον, λόγον ὑγιείας ἑκτέον, γυμνασίοις συμμέτροις χρηστέον. τοσοῦτον βρώσεως, καὶ πόσεως παρεκτέον, ὁπόσα τὴν ἰσχὺν ἀναλαμβάνειν, ἀλλὰ καὶ μὴ συμπιέζειν. μηδὲ δὴ μόνον τῷ σώματι συλληπτέον, ἀλλὰ καὶ τῷ νῷ, καὶ τῇ ψυχῇ πολλῷ μᾶλλον. καὶ ταῦτα γὰρ, εἰ μὴ καθάπερ φωτὶ ἔλαιον ἐπιστάζοις, ἀποσβέννυνται ὑπὸ γήρως. καὶ σώματα μὲν γυμνασίων καμάτοις βαρύνεται. ψυχαὶ δὲ γυμναζόμεναι αἴρονται. γέροντας γὰρ εὐήθεις καικίλιος ὁ κωμικὸς λέγων, τοὺς ταχυπειθεῖς τούτους, καὶ ἐπιλήσμονας, καὶ παραλελυμένους δηλοῖ, ἅπερ οὐ γήρως ἁπλῶς οὕτω κακίαι, ἀλλ᾽ ἀπράκτου, καὶ νωθροῦ, καὶ ὑπνηλοῦ γήρως εἰσίν. ὡς γὰρ τὸ ἀσελγὲς, καὶ ἀκόλαστον νεανίσκων μᾶλλον, ἤπερ γερόντων ἐστὶν, οὐ μέντοι ἁπάντων τῶν νεανίσκων, ἀλλὰ τῶν μοχθηρῶν τὸν τρόπον, οὕτω καὶ ἡ πρεσβυτικὴ αὕτη μωρία, ἣν λῆρον ἔθος προσαγορεύειν, γερόντων κουφολόγων, οὐχ ἁπάντων ἐστίν. τέτταρας οὖν υἱεῖς ῥωμαλέους, καὶ θυγατέρας πέντε, οἶκόν τε τηλικοῦτον, καὶ πελατείας τοσαύτας ἄππιος διῴκει τὸ γέρων τε ὢν, καὶ τυφλός. εἶχε καὶ γὰρ τὴν ψυχὴν, ὥσπερ τόξον ἐντεταμένην. οὐδέν τι χαλῶν τῷ γήρᾳ ὑπέπιπτεν. οὐ μόνον γὰρ, ἣν εἶχεν, αὐθεντείαν, ἀλλὰ δὴ καὶ ἡγεμονίαν τινὰ εἰς τοὺς ἑαυτοῦ διεσώζετο. ἐδεδίεσαν οἱ δοῦλοι, κατῃδοῦντο τὰ τέκνα, ἀγαπητὸν σύμπαντες εἶχον. ἤκμαζεν ἐν αὐτῷ τῷ οἴκῳ τὸ πάτριον σχῆμα, καὶ μάθημα, οὕτω καὶ

χει τὸ κατὰ φύσιν, ὅπερ εἰς καιρὸν οἰκεῖον προσήκει παραλαμβάνεσθαι. ἀλλ' οἶμαί σε πυνθάνεσθαι ὦ Σκιπίων, ὅτι ὁ Μασανάσσης ὁ σὸς νομιζόμενος ξένος ποιεῖ τὸ τήμερον ἔτη ἐννενήκοντα γεγονώς, πεζὸν μὲν ἤδη ἐμβαλλόμενον ὁδοιπορεῖν, ἐφ' ἵππον τοπαράπαν οὐκ ἀναβαίνειν, ἐφ' ἵππου δὲ, ἀφ' ἵππου οὐδαμοῦ καταβαίνειν, μηδενί τε ὄμβρῳ, μηδενὶ ψύχει προσάγεσθαι, καλύψαι τὴν κεφαλήν. ξηρότητά τε αὐτοῦ σώματος εἶναι πλείστην. διὸ καὶ πάντων δὴ τῶν τε εἰς βασιλέα καθηκόντων, τῶν τε περὶ λειτουργίας προστεταγμένων εὖ μάλα διατελεῖν ἀφικνούμενος. δύναται τοίνυν σωφροσύνη, καὶ ἄσκησις ἔτι κἂν τῷ γήρᾳ τι πρόσθεν ῥώμην διαφυλάττειν. οὐκ ἔστι φησὶ τῷ γήρᾳ ἰσχύς. ἀλλ' οὐδ' ἀπαιτεῖται τὸ γῆρας ἰσχύν. καὶ νόμοις ἄρα, καὶ ἔθεσιν ἡ ἡμετέρα ἡλικία τῶν τοιούτων λειτουργιῶν ἐστὶν ἀτελής, ἃς οὐκ ἔστιν ὑφίστασθαι ἄνευ ἰσχύος. ὥστ' οὐ μόνον, ἃ μὴ δυνάμεθα, ἀλλ' οὐδ', ὧν ἐν δυνάμει ἐσμὲν, πράσσειν ἀναγκαζόμεθα. ἀλλ' εἰσὶ πολλοὶ τῶν γερόντων οὕτως ἀδύνατοι, ὥστε μήτε του τῶν ἐπιτηδευομένων, μήτε ὅλως τῶν κατὰ τὸν βίον λειτουργουμένων οὑτινοσοῦν ἂν ἐφικέσθαι. ἀλλὰ τοῦτό γε οὐ γήρως ἰδία κακή, ἀλλὰ κοινὴ δήπου ἕξεως ἀνθρωπίνης. ὡς ἀδύνατος καὶ γὰρ ἦν ὁ Πόπλιος Ἀφρικανοῦ υἱὸς, ὅς σε ποιητὸν ἔθετο, ὡς ἀδρανοῦς, μᾶλλον δὲ μηδεμιᾶς εὐρωστίας κἀκεῖνός γε μεμοίραται, ὃ δὴ εἰ μὴ οὕτω συνέβαινεν, ἕτερον ἂν φέγγος ἐκεῖνος τῆς πόλεως ἀνεφάνη. εἰς γὰρ τὸ πατρικὸν μέγεθος τῆς ψυχῆς, εὐπορώτερος ἐκ διδασκαλίας παραγέγονεν οὗτος. τί θαυμαστὸν οὖν τῶν γερόντων, ἢν ἀσθενεῖς ὦσί τινες ἔνιοι, ὁπότ' αὐτὸ μηδὲ νέα

ἀτιλίου γλαβρίωνος ὄντος ὑπάτου. οὐ μὴν σαφῶς με
ἐξενήνοχε τὸ γῆρας, οὐδὲ ἐκάκωσεν, ὡς καὶ ὑμεῖς νῦν
ὁρᾶτε. οὐδὲν γὰρ τὸ βουλευτήριον, ὡς ἀποῦσαν ποθεῖ τὴν
ἐμὴν ἰσχύν, οὐδὲν τὰ ἔμβολα, οὐδὲν οἱ φίλοι, οὐδὲν οἱ
πελάται, οὐδὲν οἱ ξένοι. οὐδὲ γὰρ πώποτε συγκατεθέ-
μην τῇ παλαιᾷ, καὶ ἐπαινετῇ παροιμίᾳ, ἢ γέροντα
πρωϊαίτερον γίγνεσθαι παραινεῖ, εἰ βούλοιο ἐπὶ πο-
λὺ γέρων εἶναι. ἀλλ' ἔγωγε ἧσσον ἂν ἐπὶ πολὺ γέ-
ρων εἶναι μᾶλλον ἑλοίμην, ἢ γέρων εἶναι, πρὶν εἶ-
ναι. ἀμέλει καὶ οὐδείς με ἔτι καὶ νῦν ἔσχεν εὑρεῖν μὴ ἄ-
σχολον ὄντα. ἀλλ' ἰσχύος ἔλασσον ἔχω, ἢ ὁποτεροσοῦν
ὑμῶν. ἀλλ' οὐδ' ὑμεῖς γε τὴν τίτου ποντίου τοῦ ταξι-
άρχου ἰσχὺν ἔχετε. ἆρ' οὖν διὰ τοῦτ' ἐκεῖνος βελτίων ὑ-
μῶν εἴη; μόνον ἰσχύος συμμετρία παρέστω. τοσοῦτον δ'
ὅσον ἂν ἕκαστος δυνατὸς ᾖ, ἀγωνιζέσθω. καὶ ναὶ δὴ ἐ-
κεῖνός γε οὐδέν τι πόθῳ κρατήσεται μεγάλης ἰσχύος.
μίλων γε μὴν ὀλυμπιάσι παρελθεῖν εἰς τὸ θέατρον λέ-
γεται, βοῦν ζῶον ἀνέχων τοῖς ὤμοις. πότερον οὖν τὴν
περὶ τὸ σῶμα ταύτην, ἢ τὴν τῆς πυθαγόρου ἀγχινοίας
ἰσχὺν ἂν ἕλοιο δοθῆναί σοι; ἁπλῶς δὴ τῷ ἀγαθῷ τού-
τῳ χρῶ μὲν παρόντι, ἀπὸν δὲ μηδὲν ἐπιζήτει. εἰ μὴ
τάχα καὶ ἔφηβοι τέως μὲν τὴν παιδικὴν ἡλικίαν, σμι-
κρὸν δὲ παραμείψαντες, τὴν ἡβητικὴν ἐπιζητεῖν μέλ-
λουσι. δρόμος ἡλικίας ἐστὶν ὡρισμένος, καὶ φύσεως ὁ-
δὸς μία, καὶ αὕτη ἁπλῆ, οἰκείαν τε ὡραιότητα μέρος
ἡλικίας ἕκαστον εἴληχεν. ὡς γάρτοι ἀσθένεια μὲν ἐστὶ
παίδων, ἀλκὴ δὲ νεανίσκων, σεμνότης δ' ἤδη ἐμβρι-
θοῦς ἡλικίας, οὕτως ἄρα καὶ ἡ τοῦ γήρως πέπανσις ἔ-

ὃν διελήλυθεν ἀποθνήσκων, γέρων ὢν παντελῶς, οὔ φησιν ἐπαισθέσθαι ποτὲ τὸ ἑαυτοῦ γῆρας ἀσθενέστερον γενόμενον τῆς νεότητος. ἐγὼ καὶ λεύκιον μέτελλον μέμνημαι ἰδὼν ἔτι παῖς ὤν, ὃς τετραετίᾳ μετὰ τὴν ἑτέραν ὑπατείαν ἀρχιερεὺς ἀποδειχθεὶς μέγιστος, ἔτη δύο καὶ εἴκοσι προὔστη τῆς ἀρχιερωσύνης, οὕτω πρὸς εὖ ἔχοντα τὴν ἰσχὺν τὸν ἔσχατον χρόνον τῆς ἡλικίας, ὥσθ' ἥκιστα νεότητά γε ἐπιζητεῖν. περὶ ἐμαυτοῦ γὰρ λέγειν ἴσως οὐκ ἀναγκαῖον. καίτοι καὶ πρεσβυτικόν τοῦτό γε ἦν καὶ τῇ ἡλικίᾳ ἡμῶν συγκεχωρημένον. ὁρᾶτε γὰρ καὶ ὡς παρ' ὁμήρῳ νέστωρ τὴν ἑαυτοῦ ἰσχὺν πολλάκις ὑμνεῖ. τρίτην γὰρ ἤδη γενεὰν ἀνθρώπων ἐβίου. οὐδέ οἱ φόβος, μὴ τἀληθῆ περὶ αὑτοῦ κηρύττων ἤτοι λίαν ἀλαζὼν, ἢ λάλος δοκέῃ. καὶ γὰρ, ὡς ὅμηρος ἔφη,

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ἐς ἣν δή γε ἡδονὴν οὐδεμιᾶς ἰσχύος τῶν περὶ τὸ σῶμα ἐτύγχανε προσδεόμενος. καὶ μὴν δὴ κἀκεῖνος ὁ τῆς ἑλλάδος ἡγεμὼν δέκα τυχεῖν, οὐ τῷ αἴαντι ὁμοίων, ἀλλὰ τῷ νέστορι εὔχεται. ὃ δὴ εἰ προσγένοιτό οἱ, οὐκ ἀμφιβάλλει, τὸ μὴ οὐκ ὀλίγου χρόνου ἁλῶναι τὸ ἴλιον. ἀλλ' ἐπάνειμι δὴ ἐπὶ τὰ παρ' ἐμαυτοῦ. ἐγὼ γὰρ τέταρτον, καὶ ὀγδοηκοστὸν ἔτος διάγων τουτὶ, βουλοίμην μὲν ἂν σεμνύνεσθαι ἔχειν, ἐφ' οἷς ὁ κῦρος, ἔχω μέντοι τοσοῦτον εἰπεῖν, ὡς ἰσχὺς μὲν οὐκέτι μοι ἡ αὐτή, ἥ δή ποτε ἦν ἢ στρατιώτῃ ἐπὶ τῷ λιβυκῷ πολέμῳ, ἢ ταμίᾳ ἐπὶ τῷ αὐτῷ τούτῳ πολέμῳ, ἢ ὑπάτῳ ἐν ἰβηρίᾳ, ἢ ὕστερον ἔτει τετάρτῳ, ἡνίκα χιλίαρχος ὢν ἀμφὶ θερμοπύλας κατεμαχόμην, μάρκου

προῆλθεν πολλοῖς οἱ περὶ Τίτον Κορουγκάνιον. οὐδὲν ἄρ-
τι οἱ περὶ Πόπλιον Κράσσον, ὑφ' ὧν τὰ νόμιμα τοῖς πο-
λίταις προεγράφετο. οἷς μέχρι ἐσχάτης ἀναπνοῆς ἐ-
πιδέδωκε τὸ φρονεῖν. ἀλλὰ δέος, μὴ ὁ ῥήτωρ γήρᾳ πα-
ρακαλάσειεν. ἔστι γὰρ καὶ αὐτοῦ τὸ ἐπιτήδευμα οὐ μό-
νον ἀγχινοίας, ἀλλὰ καὶ πλευρῶν εὐτονίας. καὶ νὴ
δία εὐήχου φωνῆς ἐμμελὲς ἐκεῖνο ἔτι κἂν τῷ γήρᾳ,
οὐκ οἶδ' ὅπως ἐκλάμπει. ὅπερ ἔγωγε ἔτι καὶ νῦν οὐκ
ἀπώλεσα. καίτοι τὰ μὲν ἔτη ὅμως ὁρᾶτε. ἀλλὰ μὴν εὐ-
πρεπὴς ἐστὶν ὁ τοῦ γέροντος λόγος καὶ ἥσυχος, καὶ αἰνεῖ-
μένος. καὶ ὡς τὰ πολλὰ αὐτὸς ἀκρόασιν ἑαυτῷ ἐξερ-
γάζεται ὁ τοῦ εὐφράδους γέροντος πρᾶός τε, καὶ εὖ
σύνθετος λόγος. οὗ δὴ κἂν εἰ αὐτός τις ἐφικνεῖσθαι μὴ οἷ-
ός τ' εἴη, ἐπιτέλλειν γε μὴν Σκιπίωνι, καὶ Λαιλίῳ δύναι-
το ἄν. τί γὰρ ἥδιον γήρως σπουδαῖς βρίθοντος ἐκ νεότη-
τος; οὐδὲ ταύτην γοῦν τὴν ἰσχὺν καταλείψομεν γήρᾳ
διδάσκειν, παιδεύειν, ἄγειν εἰς ἅπαν καθῆκον τοὺς
νέους; οὗ δὴ ἔργον τί ποτ' ἂν περιφανέστερον γένοιτο;
ἐμοὶ τοίνυν καὶ οἱ περὶ Γναῖον, καὶ Πόπλιον, καὶ τὼ
Σκιπίωνε, καὶ οἱ σοὶ δύο πάπποι, Λεύκιος Αἰμίλιος,
καὶ Πόπλιος Ἀφρικανός, εὐτυχεῖς ὄντες τῆς τῶν εὖ
γεγονότων νέων ὁμιλίας ἐδόκουν. μὴ δέ πιν δὴ ὅτι
διδάσκαλοι τεχνῶν ἀγαθῶν, οὓς μακαρίους οὐ νομι-
στέον, κἂν τὰ περὶ ἰσχὺν γεγηρακότα, καὶ ἐκλελοιπότα
γε ᾖ. καίτοι καὶ ἡ τῆς ἰσχύος αὕτη γε ἀπόλειψις κακὴ νεό-
τητος πλεονάκις, ἢ γήρως συμβαίνει. νεότης γὰρ φιλή-
δονος καὶ ἀκόλαστος σῶμα διάκενον φέρουσα τῷ γήρᾳ
παρέδωκε. Κῦρος μὲν παρὰ Ξενοφῶντι τῷ λόγῳ,

ἐμοὶ ἡδέως αἰδοίομαι ὄντας. ἀλλὰ γὰρ ἤδη ὁρᾶτε, ὡς
τὸ γῆρας, οὐχ ὅπως χαλαρόν ἐστι, καὶ ἀργὸν, ἀλλὰ καὶ
πολύεργόν δὴ, καίτοι ἀεὶ ἐργαζόμενόν τε, καὶ μηχανώ-
μενον, δηλονότι τοιοῦτο, οἷά περ ἑκάστῳ πού δὴ τοῦ πρὸ
τοῦ βίου ὑπῆρξε. τί δαί; οἳ καὶ διδάσκοντάς τι, καθά-
περ σόλωνα ἐκλαμπρυνόμενον ἔπεισιν ὁρῶμεν, ὅς γη-
ράσκειν καθ' ἡμέραν διδασκόμενός τι φησίν. οἷόν τι κα'-
γὼ πεποίηκα, ὃς γέρων ὢν γράμματα ἔμαθον ἑλληνι-
κά. ἃ δὴ οὕτω πως συνήρπασα ἐκθύμως. ὥσπερεὶ χρό-
νιον δίψος ἐκπλῆσαι ἐπιθυμῶν, ἵνα γνώσεσθέ μοι γέ-
νοιτο αὐτὰ ταῦτα, οἷς παραδείγμασι νῦν προσχρώμε-
νόν με ὁρᾶτε. οἷον δὴ καὶ σωκράτη δράσαντα περὶ χορ-
δὰς πυνθανόμενος, ἐβουλόμην μὲν ἔγωγε ἂν κἀκεῖνο,
(ἐπεμελοῦντο γάρ τοι καὶ χορδῶν μαθήματος οἱ ἀρ-
χαῖοι.) τὰ περὶ τοὺς λόγους δ' ὡς ἀληθῶς διεπονησά-
μην. οὐδέ τι νῦν ἐπιποθῶ νεανίσκον εἶναι (ἕτερος
γὰρ ἦν οὗτοσὶ τόπος καιριώτερος εἰς τὸ γῆρας.) οὐδέν τι μᾶλ-
λον, ἢ νεανίσκος ὢν ἀλκὴν ἐλέφαντος ἐπόθουν, ἢ ταύ-
ρου. χρῆσθαι γὰρ τῷ παρόντι ἀεὶ πρέπει, καὶ ὅ, τι ἂν
πράσσῃς, πράττειν εἰς δύναμιν. τίς γὰρ ἂν γένοιτο οὐ κα-
ταφρονητοτέρα φωνὴ τῆς μίλωνος τοῦ κροτωνιάτου;
ὃς γέρων ὢν ἤδη τοὺς ἀθλητὰς γυμναζομένους ἐν τῷ στα-
δίῳ θεώμενος, ἐπιβλέψαι εἰς τοὺς βραχίονας αὐτοῦ λέγεται,
καὶ φάναι δακρύων, ἀλλ' οὗτοί γε ἤδη τεθνήκασι.
μὰ δί', οὐχ οὗτοι τοσοῦτον, ὅσον σὺ φλυαρεῖς. οὐ γὰρ
σὺ διὰ σεαυτὸν ἀπεδείχθης σεμνότερος οὐδεπώπο-
τε, ἀλλὰ διὰ τὰ σεαυτοῦ πλευρά τε, καὶ τοὺς βραχίονας.
οὐδὲν οὖν αἱ περὶ σέξτον αἰμύλιον τοιοῦτο, οὐδὲν ἔτεσι

οὐδὲ συλλεγομένων, οὐδὲ ἀποτιθεμένων τῶν καρπῶν. κἂν περὶ τῶν ἄλλων δέγε τοῦθ' ἧσσον καὶ θαυμαστόν. γέρων γὰρ οὕτως οὐδεὶς, ὥστε μὴ οἴεσθαι ἐνιαυτὸν ἂν ἔτι ζῆσαι. ἀλλ' οἱ αὐτοὶ περὶ ἐκεῖνα πονοῦσιν, ἅπερ οὐδὲν τοπαράπαν πρὸς ἑαυτοὺς φέροντα ἴσασι. δένδρα γὰρ φυτεύει, θερίζει, ἄλλα αἰῶνα ἕτερον γ' ὀνήσει, στάτιος ὁ ἡμέτερος ἔφη ἐν συνεφήβοις. οὐδέ τι ἀμφιβάλλων ὁ γηπόνος, καίπερ ὢν γέρων, ἀποκρίνεται τῷ, τίνι φυτεύει, ἐρωτῶντι, θεοῖς ἀθανάτοις. οἵ με οὐχ ὅτι λαβεῖν ταῦτα παρὰ τῶν προγόνων ἠξίωσαν, ἀλλὰ καὶ τοῖς ἔπειτα παραδοῦναι. ὀρθότερον οὖν καὶ κίλιος περὶ τοῦ προορωμένου γέροντος τὰ εἰς ἕτερον αἰῶνα, ἢ ὁ αὐτὸς ἐκεῖνα ἔφη,

νὴ δία γῆρας, κἂν ἄλλο μηδὲν ἐπιφέρῃ
ἐρχόμενον, ἓν δὴ τοῦτό τι κακῶν ἅλις,
ὡς πολλ' ἀνάγκη τῶν ἀβουλήτων ὁρᾶν,
ὅτῳ ξυνέβη μακρὸν διαζῆσαι χρόνον.

ἴσως δὲ καὶ πολλά, ὧν γε βούλεται. καὶ δὴ καὶ νεότης εἰς ἃ μὴ βούλεται, ἐμπίπτει πολλάκις. κἀκεῖνο δὲ φαυλότερον ὁ αὐτὸς λέγει.

κακοδαιμονέστατον τοῦτ' οἴομαι γήρως,
μισητὸν αὐτὸν ἐννοεῖν ὄντα ἑτέροις,

κατ' ἐκεῖνο τοῦ βίου. ἡδύ γε μᾶλλον, ἢ μισητόν. ὥσπερ γὰρ τοῖς εὐφυεΐᾳ κεκοσμημένοις τῶν μειρακίων, οἱ σοφοὶ τῶν γερόντων ἐφήδονται, τό, τε γῆρας τούτων ἐστὶν ἐλαφρότερον, ὅσοι ἐκ νέας δὴ φιλοῦνται, καὶ θεραπεύονται, οὕτω καὶ τὰ μειράκια τοῖς τῶν γερόντων παραγγέλμασι χαίρει, οἷς ἐπὶ τὰς σπουδὰς τῶν ἀρετῶν προσβιβάζεται. οὐδέ τι ἧσσον ἔμαι τιν ὑμῖν, ἢ ὑμᾶς

τί δέ; οἱ τῶν νομίμων ἐξηγηταί, τί δέ; οἱ ἀρχιερεῖς, τί δέ; οἱ οἰωνοσκόποι, τί δέ; οἱ φιλόσοφοι γέροντες, ὡς πλείω μνημονικῶς ἔχουσι; παραμένει γὰρ τὸ ἀγχίνουν καὶ γέρουσιν, ἣν μόνον γε παραμένῃ σπουδὴ, καὶ φιλοπονία. ταῦτα δὲ οὐ μόνον ἐπ᾽ ἀνδράσι τῶν λαμπρῶν τε, καὶ ἐντίμων, ἀλλὰ κἂν τῷ ἰδιώτῃ τε, καὶ ἡσύχῳ βίῳ. σοφοκλῆς μὲν οὖν ἐν γήρᾳ βαθεῖ τραγῳδίας ἐποίει. ὃς καὶ διὰ σπουδὴν τῶν τοιούτων, ἀμελῶς ἔχειν τὰ κατὰ τὴν οἰκίαν δοκῶν, ὡς δικαστήριον ὑπὸ τῶν υἱέων ἐκλήθη. ἵν᾽, ὥσπερ ἔθος ἡμῖν ἀπαγορεύειν τὰ ὑπάρχοντα γονεῦσι κακῶς τὰ περὶ τὴν οὐσίαν διοικουμένοις, ὡς ἐκεῖνον, οἷόν τινα τῶν ἀφρόνων ἀποστήσαιεν τῶν οἰκείων χρημάτων οἱ δικασταί. τότε δὲ ὁ γέρων τὸν μῦθον αὐτοῦ, ὃν διὰ χειρὸς εἶχεν, καὶ ὑπογυιότατα γέγραφεν, οἰδίπουν ἐν τῷ κολωνῷ παραναγνῶναι τοῖς δικασταῖς λέγεται, καὶ ἐρέσθαι, εἴ τι κεῖνο τὸ ποίημα ἀφραίνοντός του δοκοίη. τοῦ δὲ παραγεγνωσμένου, ψήφῳ τῶν δικαστῶν ἀφείθη. μὴ οὖν τόνδε; μὴ ἡσίοδον, σιμωνίδην, στησίχορον; μὴ, οὓς πρότερον εἶπον, ἰσοκράτη τε, καὶ γοργίαν; μὴ ὅμηρον, μὴ πυθαγόραν τὸν ἡγεμόνα τῶν φιλοσόφων, μὴ δημόκριτον, μὴ ξενοκράτην, μὴ πλάτωνα, μὴ ζήνωνα ὕστερον, καὶ κλεάνθην, ἢ, ὃν ἐν ῥώμῃ καὶ ὑμεῖς εἴδετε, διογένην τὸν στωϊκὸν ἄφωνον γενέσθαι τὸ γῆρας ἠνάγκασε περὶ τὰς οἰκείας σπουδάς; ἢ πᾶσι τούτοις ἡ τῶν αὐτῶν σπουδῶν ἐνδελέχεια ἐξίσου τῷ βίῳ διεγεγόνει; ἀλλά γε τὰς θείας ταύτας ἐῶμεν σπουδάς. ἔχω γάρ τοι ὀνομάσαι ῥωμαίους ἐκ σαβίνης ἀγροίκους γείτονας ἐμοὶ, καὶ συνήθεις, ὧν ἀπόντων οὐδέποτε σχεδόν τι ἔργων μάλιστα τῶν μειζόνων γίνεται ἀμφὶ τὸν ἀγρόν. οὐ γὰρ σπειρομένων

εἰ μὴ ἐν τοῖς γέρουσιν ἦν, οὐκ ἂν τὴν μεγάλην βουλὴν, γερουσίαν ἐκάλεσαν οἱ ἡμέτεροι πρόγονοι. καὶ παρὰ Λακεδαιμονίοις δὲ οἱ τὴν ὑψηλοτάτην τῶν ἀρχῶν διοικοῦντες, ὅπερ εἰσὶ, τοῦτο καὶ ὀνομάζονται γέροντες. ὥστ᾽ εἰ ἀναγνῶναι, ἢ πυθέσθαι ἐθέλοιτε τὰς ἔξωθεν μεγίστας τῶν πολιτειῶν ὑπὸ νέων σφαλείσας, παρὰ γερόντων συνορθωθείσας, καὶ ἀποκαταστεθείσας εὕροιτε ἄν.

ἀλλ᾽ εἴπατε, ὅπως ὤλετο τάχιστα πάνθ᾽ ὑμῖν τὰ τῆς πολιτείας τηλικαῦτα πράγματα; οὕτω γὰρ ἀνακρίνονται ἐν τῇ Ναιβίου τοῦ ποιητοῦ παιδιᾷ, ἄλλα τε οὖν ἀποκρίνονται, κἀκεῖνα δὴ ἐς τὰ πρῶτα.

παρήεσαν τάχιστα ῥήτορες νέοι, μειράκια εὐήθη.

ἡλικίας μὲν ἀκμαζούσης θρασύτητα δηλονότι εἶναι, γήρως δὲ φρόνησιν. ἀλλὰ τὴν γε μνήμην ἐλαττοῦσθαι συμβαίνει. πείθομαι, εἰ μὴ ταύτην ἀσκῇς. ἢ, εἰ φύσει βραδύτερος ὢν τυγχάνῃς. θεμιστοκλῆς μέντοι συμπάντων τῶν πολιτῶν ἐγίνωσκε τὰ ὀνόματα. μῶν οὖν τι αὐτὸν οἴεσθε πόῤῥω γενόμενον ἡλικίας, τὸν ὄντ᾽ ἀριστείδην λυσίμαχον εἰωθέναι προσαγορεύειν; οἶδ᾽ ἔγωγε μὴ μόνον τοὺς ὄντας τούτους, ἀλλὰ καὶ τοὺς πατέρας, καὶ τοὺς πάππους αὐτῶν. οὐδέ τι τὰ μνήματα ἀναγινώσκων δέδοικα, ὅ φασι, μὴ ἀπολέσω τὴν μνήμην. ἐκ τούτων γάρ τοι αὐτῶν ἀναγινωσκομένων, εἰς μνήμην ἐπανάγω τῶν ἀπογινομένων. οὐ μὴν ἀλλ᾽ οὐδέπω τινὰ τῶν γερόντων ἐπιλαθόμενον ἤκουσα, ἢ γῆς θησαυρὸν κατορωρυχὼς εἴη. ἀλλ᾽ ἄρα μέμνηνται πάντων, ὧν ἐπιμέλειαν ποιοῦνται, οἷον ἐξεγγυήσεών τε συγκειμένων, καὶ ἀνταλλαγῶν. καὶ, ὅστις μὲν αὐτοῖς, ὅτῳ δ᾽ αὐτοὶ ὀφείλουσι.

ὄντων, ὥσπερεί τις τὸν κυβερνήτην μηδὲν πράσσειν ἐν τῷ πλῷ λέγοι, ἐπειδὰν τῶν μὲν ἄλλων οἱ τοὺς ἱστοὺς ἀναρειχῶνται, οἱ δὲ διὰ τῶν καταστρωμάτων τρέχωσιν, ἕτεροι δὲ τινὲς ἀναιμῶνται τὸν ἄντλον. ὁ δὲ τὸ πηδάλιον κατέχων ἐπὶ πρύμνης καθ' ἡσυχίαν καθίζηται μηδὲν ποιῶν, ὧν οἱ νέοι. ἀλλὰ πολὺ δὴ μείζω τε, καὶ κρείσσω ποιεῖ. οὐ γὰρ ἰσχύϊ, ἢ τάχει, ἢ ὀξύτητι σώματος τὰ μεγάλα τῶν πραγμάτων κατασκευάζεται, ἀλλ' εὐβουλίᾳ, καὶ γνώμῃ, καὶ ἀξιώματι. ὧν τὸ γῆρας οὐχ ὅπως ἐστὶν ἐνδεές, ἀλλὰ καὶ ἐπιδιδόναι εἰς ταῦτα πέφυκεν. εἰ μὴ ἴσως ἐγώ, ὃς καὶ στρατιώτης, καὶ χιλίαρχος, καὶ πρεσβευτής, καὶ ὕπατος, πολλαῖς ἰδέαις πολέμων ὡμίληκα, νῦν παντὸς ἔργου ὑμῖν πεπαῦσθαι δοκῶ, ὅτε οὐ πολεμῶ ἔτι πολέμους. ἀλλὰ γὰρ ἅττα δεῖ πρᾶξαι τῇ συγκλήτῳ προγράφω. καί, ὅπως τῇ Καρχηδόνι κακῶς ἤδη ἐκ πολλοῦ διανοουμένῃ ἐποισόμεν πόλεμον, πολὺ πρότερον ἀπαγγέλλω. δι' ἣν ἔγωγε οὐ παύσομαι δεδιώς, πρὶν τὸ σύμπαν ἐκκεκομμένην αἰσθέσθαι. ὃ δὴ τρόπαιόν σοι ταμιεύσαιντο οἱ ἀεὶ ὄντες θεοὶ ὦ Σκιπίων. ὡς ἂν τὰ λείψανα μεταδιώξῃς τοῦ πάππου, οὗ τῇ τελευτῇ τρίτον, καὶ τριακοστὸν ἔτος τουτί. τὴν μνήμην δὲ ἐκείνου τοῦ ἀνδρὸς ἅπας ὁ ἐπιὼν διαδέξεται χρόνος. ἐνιαυτῷ γὰρ πρὸ τῆς ἐμῆς τιμητείας τὸν βίον κατέστρεψεν, ἐννέα ἔτεσι μετὰ τὴν ἐμὴν ὑπατείαν, ἐπειδὴ ὕπατος αὖθις ἐμοῦ ὑπατεύοντος ἀναρρηθείη. μὴ οὖν αὐτῷ, εἰ εἰς ἔτος ἑκατοστὸν διεβίω, τοῦ γήρως ἂν μετεμέλησεν; μὰ δί' οὐ γὰρ ἐκδρομαῖς, ἢ πηδήμασιν, οὐδὲ πόρρωθεν ἀκοντίοις, ἢ ἐγγύθεν μαχαίραις χρώμενος ἂν διετέλει, ἀλλὰ λόγῳ, καὶ εὐβουλίᾳ, καὶ γνώμῃ. ἅπερ

ἀσθενέστερον ἀπεργάζεται τὸ σῶμα. τρίτη δ᾽, ὅτι πασῶν σχεδόν τι ἀποστερεῖ τῶν ἡδονῶν. τετάρτη δ᾽, ὅτι οὐ πόρρω θανάτου ἐστί. τούτων δὲ δή, αἳ δοκεῖ τῶν αἰτιῶν, ὁπόση ἑκάστη, καὶ ὅσον εὖ λόγος ἐστί, θεασώμεθα. τῶν πρακτέων ἀπάγει τὸ γῆρας. τῶν ποίων; ἢ τῶν, ὅσα νεότητι πράσσεται, καὶ ἰσχύϊ; ἆρ᾽ οὖν οὐδὲν χρῆμα πρεσβυτικόν, ὅπερ αὖ καίτοι σώμασιν ἀσθενέσι, ψυχῆς μέντοι ῥώμῃ ὑπουργηθείη; οὐδὲν ἄρα οἱ περὶ κόϊντον μάξιμον ἔπρασσον, οὐδὲν οἱ περὶ λούκιον παῦλον τὸν σὸν πατέρα ὦ σκιπίων, κηδεστὴν δὲ τοῦ ἐμοῦ υἱέος ἀνδρὸς ἀρίστου; οἵ τ᾽ ἄλλοι γέροντες φαβρίκιοι, κούριοι, κορουγκάνιοι, ὅτε τῆς πολιτείας εὐβουλίᾳ, καὶ ἀξιώματι προειστήκεσαν, οὐδὲν ἔπρασσον; ἀλλὰ μὴν τῷ ἀππίου κλαυδίου γῆρας προσῆν καὶ τυφλὸν εἶναι. ἀλλ᾽ ὅμως ὅ γε ψήφῳ τῆς συγκλήτου εἰς εἰρήνην τῷ πύρρῳ ἀποκλινούσης, καὶ σπένδεσθαι βουλομένης, οὐκ ἀπώκνησε φάναι, ἅπερ ἔννιος ἔπεσι διεξέρχεται φράζων.

ποῖ φρένες ὑμῶν αἷς, ἣν ἀστεμφῶς πάρος ἴσχειν,
αὖ ψά γε δὴ ταύτην ἄφρονα φάφθεν μάλ᾽ ἀταρπόν;

καὶ τἄλλα λίαν σεμνῶς. δῆλα μὲν οὖν ὑμῖν καὶ τὰ ἔπη. σώζεται γὰρ μὴν καὶ ὁ λόγος αὐτοῦ ἀππίου. καὶ ταῦτ᾽ ἔπρασσεν ἐκεῖνος ἔτει ἑβδόμῳ καὶ δεκάτῳ ἀπὸ τῆς δευτέρας ὑπατείας. ἐπειδὴ μεταξὺ τοῖν δυεῖν ὑπατείαιν ἔτη διαγένοιτο δέκα, καὶ τιμητὴς πρὸ τῆς προτέρας ὑπατείας ἀποδειχθείη. ὅθεν δὴ καὶ ἔστι μαθεῖν, ὡς πάντως πρεσβύτης αὐτὸς εἴη ἤδη τοῦ πρὸς πύρρον πολέμου. ταῦτι μέντοι παρὰ τῶν πατέρων οὕτω πως παρειλήφαμεν. τοιγάρτοι οὐδὲν ἐπιφέρουσιν οἱ τὸ γῆρας περὶ τὰ πρακτέα μὴ φάσκοντες διαφέρειν. ὅμοιοί τε τυγχάνουσιν

ἐτελεύτησεν ἔτι. οἷον τὸ ἰσοκράτους, ὃν τετάρτῳ, καὶ ἐνενηκοστῷ ἔτει φασὶ γεγραφέναι τὸν πανηγυρικὸν ἐπιγραφόμενον λόγον, πέντε δὲ μετὰ ταῦτα ἔτη ἐπιβιῶναι. οὗ ὁ διδάσκαλος γοργίας ὁ λεοντῖνος ἔτη ἑπτὰ, καὶ ἑκατὸν διετέλεσεν. οὐδέ τι τῆς αὐτοῦ σπουδῆς, καὶ τοῦ ἔργου ἔληξεν οὐδεπώποτε. ὃς καὶ ἐρωτώμενος, τίποτε ἐπὶ τοσοῦτον χρονίζειν ἐν τῷ βίῳ ἐθέλοι, οὐδὲν ἔχω, ἔφη, αἰτιᾶσθαι τὸ γῆρας. λαμπροτάτη ἀπόκρισις, καὶ ἀνδρὸς ἀξία σοφοῦ. τὰς γὰρ σφετέρας κακίας οἱ ἀμαθεῖς, καὶ τὰς σφῶν αἰτίας ἐπὶ τὸ γῆρας μετάγουσιν. οἷόν τι αὐτὸς οὐκ ἐποίει, οὗ νῦν μνείαν πεποίηται ἔννιος.

ἀλλ' ἠΰθ' ἵππος τ' ἄλκιμος, ὃς πύματον διὰ χῶρον
ζωὸς ὀλύμπια πάρος πολλάκις ἤρετ' ἄεθλα,
νῦν κρατερῷ δεδμημένος εὖ μάλα γήραϊ εὕδει.

ἵππον ὅδε ἰσχυροῦ, καὶ ὀλυμπιονίκου γῆρας τὸ ἑαυτοῦ παραβάλλει. τοῦτον δὲ καὶ ἡμεῖς μεμνῆσθαι εὖ ἔχοιτε ἄν. ἐννάτῳ γὰρ, καὶ δεκάτῳ ἔτει μετὰ τὴν αὐτοῦ τελευτὴν, τίτος φλαμίνιος, καὶ μάρκος ἀτίλιος ὕπατοι ἀπεδείχθησαν. αὐτὸς δὲ ἐπὶ σκιπίωνος ὑπάτου, καὶ φιλίππου τὸ δεύτερον ὑπατεύοντος ἐτελεύτησεν. ἐπειδὴ ἐγὼ πέντε, καὶ ἑξήκοντα ἔτη γεγονὼς εὐφώνως τε, καὶ εὐτόνως, τὸν βοκώνειον νόμον εἰσηγησάμην. ἑβδομηκονταέτης δὲ γενόμενος, (ἐπὶ τοσοῦτο γάρ τοι βεβίωκεν ἔννιος) οὕτως ἔφερε δύο τὰ μέγιστα νομιζόμενα φορτία, πενίαν, καὶ γῆρας, ὥστε σχεδόν τι ἐπὶ τούτοις καὶ ἥδεσθαι φαίνεσθαι. ὅσα γε γάρ τοι σκοπούμενος ἐγὼ, καὶ πειράζων τῷ νῷ εὑρίσκω, τέτταρές εἰσι μάλιστα αἰτίαι. δι' ἃς ἂν δόξειεν ἄθλιον τὸ γῆρας. μία μὲν, ὅτι τῶν πρακτέων ἀφίστησιν. ἑτέρα δὲ, ὅτι

ρῶν ἔφασκεν, ὅτι ὅσα μὲν ἐπὶ σωτηρίᾳ τῆς πολιτείας πράσσεται, ἀρίστοις οἰωνοῖς ταῦτα πράσσοιτο· ὅσα δὲ ἐναντία τῇ πολιτείᾳ φέρεται, καὶ τοῖς οἰωνοῖς ὅτι ταῦτα φέροιτο ἐναντία. πολλὰ μὲν τοίνυν τῶν λαμπροτάτων ἐν τῷ ἀνδρὶ τῷδε κατανενόηκα. θαυμασότερον δὲ οὐδὲν, ἢ ὅπως τὴν τελευτὴν ἤνεγκε μάρκου τοῦ υἱέος ἀνδρὸς τοῦ ἐνδόξου τε, καὶ ὑπατικοῦ. διὰ χειρὸς δὲ ἡμῖν τὸ ἐγκώμιον, ὅπερ ἀναγινώσκοντες, τίνα οὐχ ὑπερφρονοῦμεν τῶν ἐκ φίβονος φιλοσόφων; οὐδ' ἄρα κεινός γε ἐν τῷ ἐμφανεῖ μόνον, κἂν τοῖς ὀφθαλμοῖς τῶν πολιτῶν μέγας, ἀλλὰ καὶ ἔνδον τε, καὶ οἴκοι βελτίων ἦν. οἷος μὲν γὰρ λόγος αὐτοῦ, οἷα δὲ παραγγέλματα, ὅση δὲ γνῶσις πραγμάτων ἀρχαίων, οἷα δὲ νομίμου μαντικοῦ ἐπιστήμη; πολλοὶ ἔτι ἐν αὐτῷ λόγοι ἦσαν, ὥσγ' ἐν ἀνδρὶ ῥωμαίῳ, καὶ πάντας διὰ μνήμης οὐ μόνον τοὺς οἰκείους, ἀλλὰ καὶ τοὺς ἀλλοφύλους εἶχε πολέμους. οὗ τῶν λόγων οὕτως ἐγὼ πρὸς ἐπιθυμίαν τε ὡς ἀπέλαυον, ὥσπερεὶ πάλαι προμαντευόμην τὸν νῦν ἀποβεβηκὸς τοῦτο, μηκέτι αὖ εἶναι μηδένα κείνου γε ἀποθανόντος, παρ' οὗ μανθάνειν οἷός τ' ἂν εἴην. πρὸς δὴ τί ταῦθ' οὕτως ὑπὲρ μαξίμου πολλά; ὅτι ὁρᾶτε δήπου, ὡς οὐ θεμιτὸν φάναι τὸ τοιοῦτο γῆρας ἄθλιον γεγονέναι. ἀλλ' οὐ πάντες σκιπίωνες, ἢ μάξιμοι εἶναι δύνανται, ὥστε πόλεων ἁλώσεις, ὥστε πεζομαχίας τε, καὶ ναυμαχίας, ὥστε πολέμους σφίσι διαπεπολεμημένους, ὥστ' ἐπινικίους πομπὰς ὕστερόν ποτε ἐνθυμεῖσθαι. ἀλλὰ μὴν ἔστι καὶ βίου καθαρῶς, καὶ ἡσύχως, καὶ χαριέντως διηνυσμένου γῆρας ἐλαφρὸν, καὶ εὐάρεστον, οἷον τὸ πλάτωνος πυνθανόμεθα, ὃς πρώτῳ καὶ ὀγδοηκοστῷ

θεραπεύειν ἠρξάμην πρεσβύτην μὲν κομιδῇ μήπω ὄντα, ἡλικίᾳ γε μὴν ἤδη προβεβηκότα. ἐνιαυτῷ γάρ τοι ὕστερον γενέσεως τῆς ἐμῆς ὕπατος ἀπεδείχθη τὸ πρῶτον. σὺν αὐτῷ δὲ τὸ τέταρτον ὑπατεύοντι νεανίσκος ὢν ἐγὼ στρατιώτης εἰς καπύην ἀπῆλθον. ἔτει δὲ πέμπτῳ ὕστερον ταμίας εἰς τάραντα, εἶτ᾽ ἀστυνόμος, καὶ μὴν τε στρατηγίαν ἔπαρχος ἀπεδείχθην, ἣν ἦρξα ἀρχὴν τουδιτανοῦ, καὶ κεθήγου ὑπατευόντων. ἡνίκα κεῖνος γέρων κομιδῇ ὢν εἰσηγητὴς κιντικοῦ γίγνεται νόμου ὑπὲρ δωρεῶν, καὶ χαρίτων. οὗτος δὲ καὶ πολέμοις πρεσβύτης ὢν ἐμφανῶς ἤδη, ὥς τις τῶν νεωτέρων ἐπολέμει. καὶ ἀννίβαν σκιρτῶντα νεανικῶς διεμάλαξεν ἀνεχόμενος. οὗ πέρι παγκάλως ὁ οἰκεῖος ἡμῖν ἔννιος λέγει.

πολλὰ δὲ δηθύνων εἷς χρήματα πάντα σαώζει.
τῷ γὰρ πρὸ θρύλλων ἡ μὴ σωτηρίη ἔσκε.
τοῦ δὴ καὶ κλέα νῦν ἀνὰ λαοὺς πάμμεγα λάμπει.

τάραντα δὲ ὅσῃ μὲν ἐγρηγόρσει, οἵᾳ δὲ βουλίᾳ χρησάμενος ἀνελήφει; ὅτε δὴ παρόντος κἀμοῦ σαλινάτωρι, ὃς τῆς πόλεως ἑαλωκυίας εἰς τὴν ἄκραν κατέφυγε, σεμνυνομένῳ, καὶ λέγοντι, ἐμοῦ συμπράσσοντος ὦ κόιντε φάβιε τάραντα ἀνέλαβες, ἀληθέστατα, ἔφη, γελάσας. εἰ μὴ γὰρ ἀπέβαλες, οὐκ ἂν ἔγωγε ἀνέλαβον. οὐδὲ μὴν ὅγ᾽ ἐν ὅπλοις ὑπέρτερος ὤν, ἢ ἐν τηβέννῳ δοκεῖ. ὅς γε ὑπατεύων τὸ δεύτερον, σποερίου καρβιλίου τοῦ συνάρχοντος ἄγοντος ἡσυχίαν, γαΐῳ φλαμινίῳ δημαρχοῦντι, καθ᾽ ὅσον οἷός τε ἦν, ἀνέστη διαιροῦντι κατ᾽ ἄνδρα τὴν πικηνίδα, καὶ γαλατικὴν χώραν ἐναντία τῷ τῆς βουλῆς ἀξιώματι. μάντις τε ὢν τῶν ἐπ᾽ οἰωνοῖς, θαρ

φυρμῶν τὸ αἴτιον οὐκ ἐν τῇ ἡλικίᾳ, ἀλλ' ἐν τῷ τρόπῳ ἐστίν. οἱ μὲν γὰρ κόσμιοι, καὶ μὴ δύσκολοι, μηδ' ἀπαίδευτοι γέροντες, ἀνεκτῶς διάγουσι γῆρας. τὸ φορτικὸν δέ, καὶ ἀπαίδευτον χαλεπὸν παρὰ πάντα τὸν βίον ἐστίν.

ΛΑΙ. ἔχει μὲν ὦ κάτων, ἃ λέγεις. ἀλλ' ἴσως εἴποι τις ἄν, ὡς σοὶ διά τε οὐσίαν, καὶ ἀξίαν, καὶ εὐπορίαν τὴν σὴν ἀνεκτότερον δοκεῖν τὸ γῆρας. τὸ δὲ μὴ πολλοῖς ἐθέλει συμβαίνειν.

ΚΑ. ἔστι τοῦτό γε ὦ λαίλιε. ἀλλ' οὐδαμῶς πάντα ἐν τούτῳ. ὡς θεμιστοκλῆς σεριφίῳ πρὸς λοιδορίαν ἀποκρίνασθαι λέγεται. τοῦ μὲν γὰρ εἰπόντος, ὡς οὐ δι' οἰκείαν αὐτὸς δόξαν, ἀλλὰ διὰ τὴν τῆς πατρίδος εὐδοκιμεῖ, μὰ δί', ὃς ἔφη, οὔτ' ἄν, εἰ ἐγὼ σερίφιος ἦν, ἔνδοξος ἂν ἐτύγχανον. οὔτ', εἰ σὺ ἀθηναῖος, ὀνομαστός ποτε ἂν ἐγένου. τὸ δ' οὖν τὸν αὐτὸν τρόπον ἔστι καὶ περὶ γήρως εἰπεῖν. οὔτε γὰρ ἐν ἀπορίᾳ ἐσχάτῃ ἐλαφρὸν ἂν εἴη τὸ γῆρας οὐδὲ σοφῷ γε, οὔτ' αὖ ἐν ἄκρᾳ εὐπορίᾳ μὴ ἐπαχθὲς ἀμαθεῖ τε, καὶ φαύλῳ. ἀτὰρ δεξία γὰρ παντάπασιν ὦ σκιπίων, καὶ λαίλιε ὅπλα γήρως αἱ τέχναι τε, καὶ αἱ ἀσκήσεις τῆς ἀρετῆς. αἳ δῆτα καλῶς διὰ βίου ἐκπονηθεῖσαι καρποὺς φέρουσι θαυμαστοὺς πολὺν χρόνον διαβεβιωκότι, οὐ μόνον τῷ μηδέποτε προλιπεῖν, μηδ' ἐν τῷ ἐσχάτῳ χρόνῳ τῆς ἡλικίας, καίπερ ὂν μέγα τοῦτό γε, ἀλλ', ὅτι καὶ ἡ τοῦ καλῶς βεβιωμένου βίου σύνεσις, καὶ τῶν εὖ πεπραγμένων ἀνάμνησις ἡδίστη οὖσα τυγχάνει. ἔγωγε οὖν κοΐντον μάξιμον τὸν τάραντα ἀνειληφότα γέροντα μειράκιον ὤν, καθάπερ τινὰ ἡλικιώτην ἐφίλουν. ἦν γὰρ ἐν ἐκείνῳ τῷ ἀνδρὶ σεμνότης εὖ μάλα ἐκ φιλοφροσύνης ἡδυσμένη. οὐδέ τι μετέθηκε τὸν τρόπον τὸ γῆρας. καίτοι γ' αὐτὸν

ρετόντι, καὶ εὖ κατὰ Πλάτωνα ὡραίᾳ πεπάνσει. ὃ δὴ πρᾴως οἰστέον ἂν εἴη ἀνδρὶ σοφῷ. τί γὰρ ἄλλο τὸ δίκην γιγάντων θεομαχεῖν ἐστὶν, ἢ τὸ τῇ φύσει ἀμιλλᾶσθαι; λαί. οὐκοῦν ὦ κάτων κεχαρισμενώτατον ἂν ἡμῖν, ἵνα καὶ ὑπὲρ σκιπίωνος ὑπόσχωμαι, δράσειας, εἴγε, ἐπειδή περ ἐλπίζομεν, καὶ μέντοι προθυμούμεθα εἰς γέροντας ἀφικέσθαι, πολὺ πρότερον μάθοιμεν παρὰ σοῦ, τίσι ποτὲ λόγοις ῥᾷστα φέρειν δυναίμεθα τὴν βαρύνουσαν αὐτὴν ἡλικίαν. κά. ποιήσω γε δὴ ὦ λαίλιε, ἄλλως τε καὶ εἰ ὑμῶν ἑκατέρῳ ἐν χάριτι ἔσται, ὡς λέγεις. λαί. καὶ μάλα ὦ κάτων ἡμεῖς γε βουλόμεθα, εἰ μή τι σοι χαλεπὸν, ὥσπερ τινὰ μακρὰν ὁδὸν προεληλυθὼς, ἣν καὶ ἡμᾶς ὁμοίως δεήσει πορεύεσθαι, τοῦτο, εἰς ὅπερ ἀφίκου, ἰδεῖν, ὁποῖόν τι ἐστί. κά. ποιήσω δὴ ταῦτα ὦ λαίλιε, ὡς ἂν οἷός τε γένωμαι. πολλάκις γάρ τοι καὶ περιέτυχον ὀδυρμοῖς ἀνδρῶν ἡλικιωτῶν ἐμῶν. (ὅμοιον ὁμοίῳ δεῖ πελάζειν, παλαιὰ παροιμία.) οὓς γάϊος σαλινάτωρ, οὓς σπόριος ἀλβῖνος ἄνδρες ὑπατικοὶ, ἡμέτεροι σχεδόν τι ἡλικιῶται εἰώθασι κατοδύρεσθαι τὸ μὲν, ὡς τῶν ἡδονῶν στερόμενοι, ὧν ἄνευ οὐδ᾽ ἂν οἴοιντο ζῆν, τὸ δ᾽, ὡς ὑπὸ τούτων ὑπερορώμενοι, ὑφ᾽ ὧν εἰώθεσαν διακονεῖσθαι καὶ θεραπεύεσθαι. οὗτοι δὲ οὐ τὸ αἴτιον ἐδόκουν ἐμοὶ αἰτιᾶσθαι. εἰ γὰρ ἦν τοῦτο γήρως αἰτία, κἂν ἐμοὶ τοῖς ἄλλοις τούτοις χρῆσθαι συνέβαινε, καὶ τοῖς λοιποῖς πᾶσι τῶν πρεσβυτέρων. ὧν τὸ γῆρας πολλῶν ὄντων, ἔξω μεμψιμοιρίας ὂν οἶδα ἐγώ. οἵγε τὸ τῶν ἐπιθυμητικῶν ἀπολελύσθαι δεσμῶν οὐ φέρουσι χαλεπῶς. οὐδέ τι ὑπὸ τῶν σφετέρων ὑπερορῶνται. ἀλλὰ πάντων δὴ τῶν τοιούτων ὁλο

καὶ τελέαν σοφίαν, ποτὲ δὲ καὶ μάλιστα τὸ μηδέπω ποτέ σοι ἐπαχθὲς ὂν τὸ γῆρας αἰσθέσθαι, ὅπερ οὐκ ὀλίγοις τῶν γερόντων οὕτως ἐστὶ μισητὸν, ὥστε σφᾶς ἀνέχειν φορτίον φάσκειν Αἴτνης βαρύτερον. Κα. Πρᾶγμα ἥκιστα χαλεπὸν θαυμάζειν ἐοίκατε ὦ Σκιπίων, καὶ Λαίλιε. οἷς μὲν γὰρ ὠφέλεια παρ' αὐτοῖς οὐδεμία πρὸς τὸ ζῆν εὖ τε, καὶ μακαρίως, τούτοις ἐπαχθής ἐστιν ἡλικία πᾶσα. ὅσοι δὲ παρὰ σφῶν πάντα αἰτοῦσι τὰ ἀγαθὰ, τούτοις κακὸν οὐδὲν οἷόν τε δοκεῖν, ὧν ἂν φύσεως ἀνάγκη ἐπάγῃ, οἷον δὴ καὶ τὸ γῆρας τυγχάνει μάλιστα ὄν. ὃ κτήσασθαι μὲν εὔχονται πάντες ἄνθρωποι, κτησάμενοι δὲ τοῦτο πάλιν αὐτὸ αἰτιῶνται. ἐς τοσοῦτο δ' ἥκουσιν ἀστασίας, καὶ εὐηθείας, καὶ κακοηθείας. θᾶττον αὐτό φασιν, ἢ ᾠήθησαν ἂν, ὑποδύεσθαι. πρῶτον μὲν οὖν τίς αὐτοὺς οἴεσθαι βιάζεται τὰ ψευδῆ; τί γὰρ θᾶσσον νεανίσκῳ τὸ γῆρας, ἢ παιδὶ ἡ νεανικὴ ὑποδύεται ἡλικία; ἔπειτα δὲ πῶς ἧσσον αὐτοῖς ἐπαχθὲς ἔσται τὸ γῆρας, ἂν ἔτος διατελοῖεν ὀκτακοσιοστὸν, ἢ ὀγδοηκοστόν; τὸ γὰρ τοῦ βίου παρεληλυθὸς, κἂν μακρὸν, ὅτ' ἐξερρυηκὸς μέντοι ἅπαξ, οὐδενὶ ἂν ἔτι παραμυθίῳ γέροντα εὐήθη καταμειλίσσειν δυνατὸν εἴη. δι' ὃ δὴ, εἰ τὴν ἐμὴν σοφίαν φιλεῖτε θαυμάζειν, ἣ ὄφελον ἦν ἀξία τῆς θ' ὑμῶν ὑπολήψεως, τῆς θ' ἡμετέρας ἐπωνυμίας, ἐν τούτῳ τυγχάνομεν ὄντες σοφοὶ, ὅτι φύσει ἡγεμόνι ἀρίστῃ ἑπόμεθα, καθάπερ θεῷ, καὶ πειθόμεθα ταύτῃ, ὑφ' ἧς οὐκ εἰκὸς τῶν ἄλλων τοῦ βίου μερῶν εὖ διαγεγραμμένων, τὸ τελευταῖον δρᾶμα, ὥσπερ ὑπὸ ῥαθύμου ποιητοῦ ἠμελῆσθαι. ἀλλὰ γὰρ ὅμως ἀναγκαῖον ἦν καί τι που ἔσχατον εἶναι, καὶ ὥσπερ ἐπὶ τῶν ἀκροδρύων, καὶ τῶν ἐκ γῆς καρπῶν, ὡσανεὶ πα-

φίσαι δεῖν καὶ σὲ, καὶ ἐμαυτὸν ἀξιῶ. καίτοι εὖ οἶδ' ὡς σέ γε
φέροντά τε αὐτὸ, καὶ οἴσοντα, ὥσπερ ἀμέλει καὶ τἄλ-
λα πάντα, μετρίως τε, καὶ σοφῶς. ἀλλά μοι, ἐπειδὴ βου-
λομένῳ ἦν περὶ γήρως τι συγγράψαι, σὺ προσέβαλες
ἄξιος δώρου τοιοῦδε. ᾧ γ' ἂν εἰς κοινὸν χρῷτο ἡμῶν ἑ-
κάτερος. ἐμοί γε οὖν ἡ τοῦ τοιούτου σύνταξις λόγου οὕ-
τω πού καθ' ἡδονὴν ἐγεγόνει, ὥστε μὴ μόνον τὰ χαλε-
πὰ τοῦ γήρως ξύμπαντα ἀπερρεῖφθαι, ἀλλὰ καὶ μαλθα-
κὸν τὸ γῆρας προσαπειργάσθαι, καὶ ἡδύ. οὐ μήποτ' οὖν
ἱκανῶς πρὸς ἀξίαν ἐγκωμιάσαι φιλοσοφίαν γένηται.
ᾗ γὰρ ὁ πειθόμενος οἷός τε διάγειν ἔξω χαλεπῶν τὸν τοῦ βίου
σύμπαντα χρόνον. ἀλλὰ τῶν μὲν ἄλλων πέρι πολλά τε
εἰρήκαμεν, καὶ αὖθις ἐροῦμεν πολλάκις. τὸ νῦν δ' εἶναι
βιβλίον τοῦτό σοι περὶ γήρως πεπόμφαμεν. πάντα δὲ τὸν
λόγον οὐ τιθωνῷ, καθάπερ ἀρίστων ὁ χῖος, περιτεθεικό-
τες ἐσμὲν, τοῦ μήτι σμικρὸν, ὡς ἐν μύθοις, ἀξίωμα εἶναι,
ἀλλὰ μάρκῳ κάτωνι γέροντι. ἵνα μείζονος ἔχοιτο ἀ-
ξιώματος ὁ λόγος. πρὸς τοῦτον δὲ λαίλιον, καὶ σκιπίω-
να θαυμάζοντας πεποιήκαμεν, ὅτι ῥᾳδίως αὐτὸς φέ-
ρει τὸ γῆρας, κἀκείνοις αὖ πάλιν τόνδε ἀποκρινόμενον.
ὁ δέ γε εἴ τι πολυμαθέστερον δοκεῖ διαλέγεσθαι, ἢ ὡς ἐν
τοῖς ἰδίοις αὐτὸς εἴωθεν συγγράμμασι, τοῖς ἑλληνι-
κοῖς τοῦτό γε ἀπονεμέτω λόγοις, περὶ οὓς δῆλον, ὡς ὅ
γ' ἐν γήρᾳ τυγχάνει λίαν ἐσπουδακώς. ἀλλὰ τί δεῖ
πλειόνων; ἤδη γὰρ ὁ λόγος αὐτοῦ κάτωνος πᾶσαν τὴν
ἡμετέραν περὶ γήρως δηλώσει διάνοιαν. σκι.
πολλάκις ὦ μάρκε κάτων θαυμάζειν εἴωθα μετὰ γαΐου
λαιλίου τουτουῒ ποτὲ μὲν τὴν σὴν περὶ τἄλλα ὑπερφανῆ τε,

M: Tullii Cic: de Senectute, Theod: Gaza [illegible]

ΜΑΡΚΟΥ ΤΥΛΛΙΟΥ ΚΙΚΕΡΩΝΟΣ ΚΑΤΩΝ, Η ΠΕΡΙ ΓΗΡΩΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΖΟΥ ΕΛΛΗΝΙΣΑΝΤΟΣ.

132 4
34.3.B.20

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ, ΣΚΙΠΙΩΝ, ΚΑΤΩΝ, ΛΑΙΛΙΟΣ.

Coll. Rom. Soc. Jesu Cat. inscr.

ὦ τίτε, εἴκεν ἐγὼ πρόφρων τοι ἴκωμαι ἀρήξων,
πάγχυ τε κούφω ἀργαλέων μελεδῶνά γε θῶμαι;
ἥ σ' αὔτως ἔψουσ' αἰνῶς μάλα δὴ κατατήκει,
ἡ δὲ παγεῖσ' ἐν στήθεσι θυμὸν σ' ἀμφικραδαίνει,
τῇ νῦν τέρψαι, ἄεθλον ἔπειτ' ἂν ἐμοὶ τί ποτ' εἴη;

ἔξεστι γάρ τοι κἀμοὶ φάναι ταυτὰ ἔπη ὦ ἀττικὲ, ἅπερ ἐκεῖνος ὁ ἀνὴρ πρὸς φλαμίνιον, ἐπὶ πράγμασι μὲν οὐ πάνυ μεγάλοις, ἔμπλεως γε μὴν πίστεως ὢν εἴρηκε. καίτοι εὖ οἶδα μηδὲν κατὰ φλαμίνιον σέ γε ὦ ἀττικὲ μεριμνᾶν νύκτας τε, καὶ ἤματα πάντα. ἔγνων γάρ σου τὸ τῆς ψυχῆς ἐπιεικές τε, καὶ κόσμιον. καί σε μὴ μόνον ἐπωνυμίαν ἀθήνηθεν ἀπενήνεχθαι, ἀλλὰ καὶ φρόνησιν, καὶ παιδείαν μανθάνω. ὑποπτεύω μέντοι καί σε τοῖς ἄλλοις, οἷς ἔσθ' ὅτε καὶ ἐμαυτὸν, χαλεπωτέρως ἐνοχλεῖσθαι. ὧν ἄρ' ἡ παραμυθία καὶ μείζων δή τις ἐστὶ, καὶ εἰς ἕτερόν γε ὑπερκείσθω καιρόν. νῦν δέ μοι πρός σε ἄττα συγγράψαι ἔδοξε γήρως πέρι. τοῦ γάρ τοι φορτίου τοῦδε ὅπερ ἐμοὶ κοινὸν ὑπάρχει πρός σε, ἤτοι ἐπικειμένου ἤδη τοῦ γήρως, ἢ καὶ ἐπερχομένου καὶ

B. 5.